eul_wid: ngg-aa

*Σχόλια εἰς Θεόκριτον* · Scholia on Theocritus

# Scholia-Theocritus

*Σχόλια εἰς Θεόκριτον*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

proleg t ΘΕΟΚΡΙΤΟΥ ΒΟΥΚΟΛΙΚΑ Prolegomena Γένος Θεοκρίτου Θεόκριτος ὁ τῶν βουκολικῶν ποιητὴς Συρακούσιος ἦν τὸ γένος, πατρὸς Σιμίχου, ὡς αὐτός φησι (VII 21)· ‘Σιμιχίδα, πᾶ δὴ τὸ μεσαμέριον πόδας ἕλκεισ‘; ἔνιοι δὲ τὸ ‘Σιμιχίδα‘ ἐπώνυμον εἶναι λέγουσι—δοκεῖ γὰρ σιμὸς εἶναι τὴν πρόσοψιν—, πατέρα δ’ ἐσχηκέναι Πραξαγόραν καὶ μητέρα Φιλίναν.

proleg A a ἀκουστὴς δὲ γέγονε Φιλητᾶ καὶ Ἀσκληπιάδου, ὧν μνημονεύει (VII 40). ἤκμασε δὲ κατὰ Πτολεμαῖον τὸν ἐπικληθέντα 〈Φιλάδελφον τὸν Πτολεμαίου τοῦ〉 Λάγου. περὶ δὲ τὴν τῶν βουκολικῶν ποίησιν εὐφυὴς γενόμενος πολλῆς δόξης ἐπέτυχε. κατὰ γοῦν τινας Μόσχος καλούμενος Θεόκριτος ὠνομάσθη. ἰστέον, ὅτι ὁ Θεόκριτος ἐγένετο ἰσόχρονος τοῦ τε Ἀράτου καὶ τοῦ Καλλιμάχου καὶ τοῦ Νικάνδρου· ἐγένετο δὲ ἐπὶ τῶν χρόνων Πτολεμαίου τοῦ Φιλαδέλφου.

proleg B (t) Εὕρεσις τῶν βουκολικῶν Τὰ βουκολικά φασιν ἐν Λακεδαιμονίᾳ εὑρεθῆναι καὶ περισσῶς προκοπῆς τυχεῖν.

proleg B a τῶν γὰρ Περσικῶν ἐνεστώτων ἔτι καὶ φόβῳ πᾶσαν τὴν Ἑλλάδα ταρασσόντων ἐνέστη ἑορτὴ Ἀρτέμιδος Καρυάτιδος. τῶν δὲ παρθένων ἀποκεκρυμμένων διὰ τὴν ἐκ τοῦ πολέμου ταραχὴν ἀγροῖκοί τινες εἰσελθόντες εἰς τὸ ἱερὸν ἰδίαις ᾠδαῖς τὴν Ἄρτεμιν ὕμνησαν· τῆς δὲ τούτων ξένης μούσης ἀρεστῆς γενομένης παρέμεινε τὸ ἔθος καὶ ἐφυλάχθη. ἄλλοι δὲ ἐν Τυνδαρίδι τῆς Σικελίας πρῶτον ἀχθῆναι λέγουσι τὰ βουκολικά. Ὀρέστῃ γὰρ ἐκκομίζοντι 〈τὸ〉 τῆς Ἀρτέμιδος ξόανον ἐκ Ταύρων τῆς Σκυθίας χρησμὸς ἐξέπεσεν ἐν ἑπτὰ ποταμοῖς ἐκ μιᾶς πηγῆς ῥέουσιν ἀπολούσασθαι· ὁ δὲ πορευθεὶς εἰς Ῥήγιον τῆς Ἰταλίας τὸ ἄγος ἀπενίψατο ἐν τοῖς λεγομένοις διαχωρίοις ποταμοῖς. ἔπειτα εἰς Τυνδαρίδα τῆς Σικελίας διῆλθεν· οἱ δὲ ἐπιχώριοι τὴν θεὸν ἰδίοις ποιήμασι καθυμνήσαντες ἔθει τὴν πρώτην παρέδοσαν εὕρεσιν. ὁ δὲ ἀληθὴς λόγος οὗτος. ἐν ταῖς Συρακούσαις στάσεώς ποτε γενομένης καὶ πολλῶν πολιτῶν φθαρέντων, εἰς ὁμόνοιαν τοῦ πλήθους [ποτὲ εἰς] ἐλθόντος ἔδοξεν Ἄρτεμις αἰτία γεγονέναι τῆς διαλλαγῆς. οἱ δὲ ἀγροῖκοι δῶρα ἐκόμισαν καὶ τὴν θεὸν γεγηθότες ἀνύμνησαν, ἔπειτα ταῖς 〈τῶν〉 ἀγροίκων ᾠδαῖς τόπον ἔδωκαν καὶ συνήθειαν. ᾄδειν δέ φασιν αὐτοὺς ἄρτον ἐξηρτημένους θηρίων ἐν ἑαυτῷ πλέονας τύπους ἔχοντα καὶ πήραν πανσπερμίας ἀνάπλεων καὶ οἶνον ἐν αἰγείῳ ἀσκῷ, σπονδὴν νέμοντας τοῖς ὑπαντῶσι, στέφανόν τε περικεῖσθαι ΚΕ b AT καὶ κέρατα ἐλάφων προκεῖσθαι καὶ μετὰ χεῖρας ἔχειν λαγωβόλον.

proleg B b

τὸν δὲ νικήσαντα λαμβάνειν τὸν τοῦ νενικημένου ἄρτον· κἀκεῖνον μὲν ἐπὶ τῆς τῶν Συρακουσίων μένειν πόλεως, τοὺς δὲ νενικημένους εἰς τὰς περιοικίδας χωρεῖν ἀγείροντας ἑαυτοῖς τὰς τροφάς· ᾄδειν δὲ ἄλλα τε παιδιᾶς καὶ γέλωτος ἐχόμενα καὶ εὐφημοῦντας ἐπιλέγειν· δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι τὰν ὑγίειαν, ἃν φέρομες παρὰ τᾶς θεοῦ, ἃν ἐκλελάσκετο τήνα (Carm. pop. 42 Bergk Poet. lyr. gr. III 4 672). Τὰ δὲ βουκολικὰ ἔχει 〈κατὰ〉 διαφορὰν τὴν τῶν ποιημάτων ἐπιγραφήν· καὶ γὰρ αἰπολικά ἐστι καὶ ποιμενικὰ καὶ μικτά.

proleg C a τὴν μέντοι ἀπὸ τῶν βοῶν εἴληφεν ἐπιγραφὴν 〈ὡσ〉 κρατιστεύοντος τοῦ ζῴου· διὸ καὶ βουκολικὰ λέγονται πάντα. εἴρηται δὲ βουκόλος παρὰ τὸ τὰς βόας 〈κέλλειν καὶ〉 ἐλαύνειν ἢ ἀπὸ τοῦ τὰς βόας κολούειν ἀτιμαγελώσας ἢ τῶν βοῶν κομεῖν καὶ ἐπιμελεῖσθαι τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον. σημείωσαι· ἐπὶ αἰγῶν αἰπόλια, ἐπὶ βοῶν βουκόλια, ἐπὶ προβάτων ποίμνια, ἐπὶ συῶν συβόσια.

proleg C [c] πῶς βουκολικὰ ὑπεγράφησαν καίτοι μὴ ὄντων ὅλων βουκολικῶν, ἀλλὰ καὶ ποιμενικῶν καὶ αἰπολικῶν; ἐκ τοῦ κρείττονος μέρους ταῦτα τῶν τετραπόδων ὑπεγράφησαν. Πᾶσα ποίησις τρεῖς ἔχει χαρακτῆρα ς , διηγηματικόν, δραματικὸν καὶ μικτόν.

proleg D τὸ δὲ βουκολικὸν ποίημα μῖγμά ἐστι παντὸς εἴδους καθάπερ συγκεκραμένον· διὸ καὶ χαριέστερον τῇ ποικιλίᾳ τῆς κράσεως, ποτὲ μὲν συγκείμενον ἐκ διηγηματικοῦ, ποτὲ δὲ ἐκ δραματικοῦ, ποτὲ δὲ ἐκ μικτοῦ, ἤγουν διηγηματικοῦ καὶ δραματικοῦ, ὁτὲ δὲ ὡς ἂν τύχῃ. εἰς ὅσον δ’ οἷόν τέ ἐστι, τὰ τῶν ἀγροίκων ἤθη ἐκμάσσεται αὕτη ἡ ποίησις, τερπνῶς πάνυ τοὺς τῇ ἀγροικίᾳ σκυθρωποὺς κατὰ τὸν βίον χαρακτηρίζουσα· ἐκπέφευγε δὲ τὸ ἄγαν ἁδρὸν καὶ ὑπέρογκον τῆς ποιήσεως. Ἰστέον δέ, ὅτι εἰδύλλιον λέγεται τὸ μικρὸν ποίημα ἀπὸ τοῦ εἶδος ἡ θεωρία, οὐχ ἡδύλλιον παρὰ τὸ ἥδω τὸ εὐφραίνω.

proleg E [b] εἰδύλλιον λέγεται, ὅτι εἶδός ἐστι λόγου· ὑποκοριστικῶς δὲ εἴρηται εἰδύλλιον. E b AT εἰδύλλια λέγονται ταῦτα ἀπὸ τοῦ εἴδω τὸ ὁμοιῶ· ἐοικότες γὰρ τοῖς προσώποις εἰσὶν οἱ λόγοι.

proleg E [d] πῶς οὐχ ὑπογράφονται ταῦτα τὰ ποιήματα διάλογοι —διαλέγεται γὰρ ἔν τισι τούτων πρόσωπα —ὡς καὶ τὰ τοῦ Λουκιανοῦ; οὐκ ἤθελεν ὁ ποιητὴς θεῖναι ἀλλοίας καὶ ἀλλοίας ὑπογραφάς, ἀλλὰ μίαν ἁρμόζουσαν πᾶσι τοῖς ποιήμασιν αὐτοῦ. εἶδος γὰρ λόγου ἐστὶ καὶ τὸ διηγηματικὸν καὶ τὸ δραματικὸν καὶ τὸ μικτόν, καὶ διὰ τοῦτο ὑπεγράφησαν εὐδύλλια. Δωρίδι δὲ καὶ Ἰάδι διαλέκτῳ κέχρηται Θεόκριτος, μάλιστα δὲ ἀνειμένῃ καὶ χθαμαλῇ Δωρίδι παρὰ τὴν ἘπιKE b AT χάρμου καὶ Σώφρονος· οὐ μὴν δὲ ἀπολιμπάνεται καὶ Αἰολίδος.

proleg F [b] ἰστέον, ὅτι ὁ Θεόκριτος Δωρίδι διαλέκτῳ κέχρηται τῇ νέᾳ. δύο γάρ εἰσι, παλαιὰ καὶ νέα· καὶ ἡ μὲν παλαιὰ τραχεῖά τίς ἐστι καὶ οὐκ εὐνόητος· ἡ δὲ νέα, ᾗ καὶ Θεόκριτος χρῆται, μαλθακωτέρα καὶ εὐκολωτέρα. Δωρίδι δὲ διαλέκτῳ κέχρηται ὁ Θεόκριτος ἀνειμένῃ.

proleg F [d] αἱ ἀφαιρέσεις τῶν Ἰώνων, αἱ συγκοπαὶ τῶν Αἰολέων, αἱ ἀποκοπαὶ τῶν Ἀττικῶν καὶ οἱ πλεονασμοὶ τῶν Ἰώνων. αἱ ἐπενθέσεις τῶν Αἰολέων ὡς τὸ κυσὶ ‘κύνεσσι‘, τῶν Ἀττικῶν αἱ ἐπεκτάσεις ὡς τὸ οὕτως ‘οὑτωσί‘. 〈...〉 ‘ἀταρτηροῖς ἐπέεσσιν‘ (A 223) ἀτηροῖς. Ἀρτεμιδώρου γραμματικοῦ ἐπὶ τῇ ἀθροίσει τῶν βουκολικῶν ποιημάτων· Βουκολικαὶ μοῖσαι σποράδες ποκά, νῦν δ’ ἅμα πᾶσαι ἐντὶ μιᾶς μάνδρας, ἐντὶ μιᾶς ἀγέλας.

proleg G b Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ’ ἔγραψα, εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρηκοσίων, υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης, μοῦσαν δ’ ὀθνείην οὔτιν’ ἐφελκυσάμην. Ὥσπερ σκύφος γάλακτος ἢ καὶ κισσύβη ἡ βουκολικὴ πᾶσιν ἄγκειται βίβλος· τοιγὰρ ῥοφῶμεν οἱ θέλοντες τὸν λόγον στόμασι λάβροις, εἰ κελεύουσι φρένες.

proleg H* E b P r T Anecdoton Estense III Ὅτι τῶν τὰ βουκολικὰ συγγραψάντων ἴδιον (ἰδια cod.

Anec Est 1 )— τὸ Δωρίδι χρῆσθαι διαλέκτῳ, τὸ μιμεῖσθαι εἰς ἄκρον ἀγροίκων ὁμιλίας καὶ νομέων χαριέντως αὐτὰς ἐκφράζων. ἄρτον τε ἐξήρτηντο μορφὰς θηρίων ἐν ἑαυτῷ ἔχοντα καὶ Bb

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πήραν πανσπερμίας ἀνάπλεων, καὶ οἶνον ἐν αἰγείῳ ἀσκῷ φέροντες σπονδὴν ἔνεμον τοῖς ὑπαντῶσι. στέφανόν τε περιέκειντο καὶ κέρατα ἐλάφων προέκειτο αὐτοῖς μετὰ χεῖράς τε εἶχον λαγωβόλον. ὁ δὲ νικήσας ἐλάμβανε τοῦ ἡττηθέντος τὸν ἄρτον. κἀκεῖνος μὲν ἐπὶ τῆς τῶν Συρακουσίων ἔμενε πόλεως, οἱ δὲ νενικημένοι εἰς τὰς περιοικίδας (περιοικιδίας cod.) ἐχώρουν ἀγείροντες ἑαυτοῖς τὰς τροφάς. [ἔδιδο del. in cod.] παρεῖχόν τε ἄλλα τε παιδιᾶς ἄξια καὶ δὴ καὶ τόδε προσέλεγον· δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι τὰν ὑγίειαν, ἃν φέρομεν παρὰ τῆς θεοῦ, ἃν ἐκαλέσ〈σ〉ατο τήνα. ὅτι ὁ μὲν ἄρτος καὶ ὁ οἶνος καὶ ἡ σπονδὴ σημεῖα εἰρήνης— ἦσαν. ἐπὶ εἰρήνῃ γάρ, ὡς ῥηθήσεται, εὕρηται τὰ βουκολικά. ἥ τε πανσπερμία τὴν ἀπὸ τῆς εἰρήνης ἐπίδοσιν ἐν ταῖς πόλεσι δηλοῖ. ὡσαύτως δὲ καὶ ὁ στέφανος νίκης τε ἅμα σύμβολον καὶ χαρᾶς. ἐνίκησαν γὰρ οἱ διαλλακταὶ διαλλάξαντες τοὺς ἐν ταῖς Συρακούσαις στασιάζοντας· ὧν δὴ διαλλακτῶν τόπον ἐπεῖχον οἱ τὰ βουκολικὰ ᾄδοντες. τὰ δὲ κέρατα, ἐπειδὴ τὸν Πᾶνα εἶχον οἱ νομεῖς θεόν, ὁ δὲ Πὰν κέρατα ἔχων παραδέδοται. τοὺς νομεῖς δὲ οἱ τὰ βουκολικὰ συνθέντες ἐμιμοῦντο, ὡς ἔφημεν. καὶ τῶν θηρίων δὲ αἱ μορφαὶ τοῦ Πανὸς ἕνεκεν λαμβάνονται, ἐπειδὴ ἐν τοῖς ὄρεσι καὶ ταῖς ἐρημίαις παραδίδοται διατρίβειν, τόποις θηριώδεσι, καὶ ἅμα καὶ αὐτὸς τὰ κάτω τραγώδη καὶ λάσια παραδίδοται ἔχειν. καὶ τὸ λαγωβόλον δὲ τοῦ αὐτοῦ ἕνεκεν· εἰκὸς γὰρ αὐτὸν καὶ κυνηγέτην εἶναι τοῖς ὄρεσιν ἐνδιατρίβοντα. καὶ μὴν καὶ ἡ πρόσρησις σημεῖον εἰρήνης ἦν· εὐδαίμονες μὲν γὰρ οἱ ἄνθρωποι ἐν εἰρήνῃ, κακοδαίμονες δὲ γίνονται ἐν τῷ πολέμῳ. cf. sch. I 3/4 d e. ὅτι οἱ μέν φασιν εὑρεθῆναι ἐν Λακεδαίμονι τὰ βουκολικὰ πρῶτον, τῷ τρόπῳ τούτῳ.

Anec Est 2 τῶν Περσικῶν ἐνεστώτων ἔτι καὶ φόβῳ πᾶσαν τὴν Ἑλλάδα ταρασσόντων ἐνέστη τις (incertum) ἑορτὴ Ἀρτέμιδος Καρυάτιδος. τῶν οὖν παρθένων κεκρυμμένων διὰ τὴν ἐκ τοῦ πολέμου ταραχὴν ἀγροῖκοί τινες εἰσελθόντες ἰδίαις ᾠδαῖς τὴν Ἄρτεμιν ὕμνησαν· τῆς δὲ τούτων ξένης μούσης ἀρίστης γενομένης παρέμεινε τὸ ἔθος καὶ ἐφυλάχθη. οἱ δέ φασιν ἐν Σικελίᾳ πρῶτον ἐξευρεθῆναι τρόπῳ τοιῷδε. ἐξενεχθέντος τῷ Ὀρέστῃ χρησμοῦ ἐν ἑπτὰ ποταμοῖς ἐκ μιᾶς πηγῆς ῥέουσιν ἀπολούσασθαι, εἰς Ῥήγιον τῆς Ἰταλίας πορευθείς, φέρων καὶ τῆς Ἀρτέμιδος ξόανον μεθ' ἑαυτοῦ, ἐκεῖ ἐν τοῖς λεγομένοις διαχωρίοις ἐλούσατο ποταμοῖς. ἔπειτα τὸ ξόανον λαβὼν εἰς Τυνδαρίδα τῆς Σικελίας ἀφίκετο· οἱ δὲ ἐπιχώριοι τὴν θεὰν ἰδίοις ποιήμασι καθυμνήσαντες ἔθει τὴν πρώτην παρέδοσαν εὕρεσιν. ἀληθέστερον δέ φασιν οἱ λέγοντες ἐν Σικελίᾳ μὲν εὑρεθῆναι, τρόπῳ δὲ (γε cod.) μὴν τοιῷδε. στάσεώς ποτε ἐν Συρακούσαις γενομένης καὶ πολλῶν πολιτῶν διαφθαρέντων μόλις τέ ποτε εἰς ὁμόνοιαν συνελθόντων ἔδοξεν ἡ Ἄρτεμις αἰτία τῆς διαλλαγῆς γεγονέναι. τῶν οὖν ἀγροίκων δῶρα κομισάντων ἐπὶ ταῖς διαλλαγαῖς καὶ τὴν θεὰν ἀνυμνησάντων ταῖς ἀγροίκοις ἐκείνων ᾠδαῖς τόπον ὕστερον ἔδωκαν καὶ συνήθειαν. ὅτι Θεόκριτος ὁ τῶν τὰ βουκολικὰ συγγραψάντων ἄριστος Συρακούσιος ὢν τὸ γένος πατέρα ἔσχε Πραξαγόραν, μητέρα δὲ Φιλίναν.

Anec Est 3 τὸ γὰρ ‘Σιμιχίδα‘ οὐ τοῦ πατρὸς ὄνομα, ἀλλ' αὐτοῦ φασιν ἐπώνυμον εἶναι· ἦν γὰρ τὴν ῥῖνα σιμός. Aa ἐγένετο δὲ ἀκουστὴς Φιλητᾶ καὶ Ἀσκληπιάδου, ὧν καὶ μνημονεύει. ἤκμασε δὲ ἐν τοῖς χρόνοις Πτολεμαίου τοῦ ἐπικληθέντος Λαγωοῦ. περὶ δὲ τὴν τῶν βουκολικῶν ποίησιν εὐφυὴς γενόμενος πολλῆς δόξης ἐπέτυχε. κατὰ γοῦν τινας Μόσχος τὸ πρὶν καλούμενος Θεόκριτος ὠνομάσθη. οἱ δὲ ἐν τοῖς χρόνοις Πτολεμαίου τοῦ Φιλαδέλφου φασὶν— ἀκμάσαι, ὃς δὴ παῖς ἦν Πτολεμαίου τοῦ Λαγωοῦ καὶ Βερενίκης τῆς Ἀντιγόνου θυγατρός. ἑπτὰ δέ φασιν ἐν ἐκείνοις τοῖς χρόνοις ἀκμάσαι ποιητὰς ἀρίστους, οὓς πλειάδα ἐκάλουν διὰ τὸ ἑπτὰ εἶναι. ὧν τὰ ὀνόματά εἰσι ταῦτα· Θεόκριτος οὗτος, Ἄρατος ὁ τὰ Φαινόμενα γράψας καὶ ἕτερα, Νίκανδρος ὁ τὰ Θηριακὰ συγγραψάμενος, Αἰαντίδης (hic in cod. post Νίκανδρος, transposuit Kayser)—οἱ δὲ ἀντὶ τούτου Ἀπολλώνιόν φασι τὸν τὰ Ἀργοναυτικὰ συγγράψαντα—, Φίλικος, Ὅμηρος ὁ νέος, τραγικός— ἔστι γὰρ καὶ ἕτερος Ὅμηρος, οὗπερ τὸν Ἡσίοδον ἰσόχρονον τίθενται, ἀλλ' οὐ τὸν παλαιὸν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅμηρον, ἀλλ’ ἕτερον μετ’ ἐκεῖνον—, Ἀνδρομάχου (–ης cod.) Βυζάντιος, ὃς δράματα συνέθηκεν ζ′, καὶ Λυκόφρων ὁ τὴν Ἀλεξάνδραν συγγράψας. cf. Tzetz. ad Lyc. 4, 26—5, 4 Scheer. ὅτι καὶ ἐπίγραμμα φέρεται εἰς Θεόκριτον τόδε· Gb Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ’ ἔγραψα, εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρακοσίων, υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης, μοῦσαν δ’ ὀθνείην οὔτιν’ ἐφελκυσάμην. ὅτι ἡ βουκολικὴ ποίησις καίπερ οὐ μόνον βουκολικά, ἀλλὰ καὶ αἰπολικὰ καὶ ποιμενικὰ περιέχουσα καὶ μικτὰ ὅμως ἀπὸ τῶν βοῶν ἐπικρατεστέρων ὄντων ἔσχηκεν τὴν ἐπιγραφὴν βουκολικὰ κληθεῖσα.

Anec Est 4 ὅτι βουκόλο ς , ὅθεν καὶ βουκολικά, λέγεται ὁ τῶν βοῶν νομεύς, ὡς μέν τινες κακῶς τὸ ἔτυμον λέγοντες παρὰ τὸ βοῦς καὶ τὸ κονεῖν (ῥονεῖν cod., corr. Kayser) τὸ ἐνεργεῖν καὶ διατρίβειν· κονεῖ (ῥονεῖ cod., corr. idem) γὰρ ἢ ἐνεργεῖ τι περὶ τὰς βοῦς ὁ βουκόλος. ὡς δ’ ἕτεροι κάλλιον, παρὰ τὸ κέλεσθαι ἤγουν προστάσσειν τοῖς βουσὶν ἢ τὸ κέλλειν καὶ (ἢ in corr. secundum Kayserum, καὶ esse suspicor) τρέχειν σὺν τοῖς βουσί, βούκελος καὶ βουκόλος. βραχύτερά τε γὰρ τὰ ὀνόματα τῶν ῥημάτων γίγνονται ὡς ἐπὶ τὸ πλεῖστον, ἀφ’ ὧν παράγεται, καὶ διὰ τοῦτο θάτερον τῶν λλ ἀπέβαλε, καὶ ἅμα τὰ ἔχοντα τὸ ε ἐγκείμενον ἐν τοῖς ῥήμασιν ἔχουσι τὸ ο ἀντιπαρακείμενον ἐν τοῖς ὀνόμασιν. ὅτι δὲ καὶ κέλλω τὸ τρέχω λέγεται, ὅ τε κέλης ὁ δρομαῖος ἵππος (ἱππεὺς cod., corr. Kayser 79 n. 2) δηλοῖ καὶ τὸ νωχελές, ἀπὸ τοῦ νω στερητικοῦ καὶ τοῦ κέλλω συγκείμενον, τροπῇ τοῦ κ εἰς χ . ἄριστα δὲ ὁ Δίδυμος εἴρηκεν ἀπὸ τοῦ βοῦς καὶ τοῦ κομέω ~ κομῶ τὸ ἐπιμελοῦμαι παράγεσθαι, βουκόμος καὶ βουκόλος, ὥσπερ καὶ ἱπποκόμος. cf. Et. Gen. ad Ca cit.—Et. M. 608, 31—34 (cf. Gen.). εἰ δὲ καὶ ἀπὸ τοῦ κορέω ~ κορῶ παράξεις, οὐδὲν ἀπεικότως ἐρεῖς βουκόρον λέγων καὶ βουκόλον. ἐν ἑκατέρᾳ γὰρ παραγωγῇ ἀμετάβολον εἰς ἀμετάβολον τρέπεται, οὐκ ἀπᾷδον ὄν. ὅτι καὶ ἐπίγραμμα Ἀρτεμιδώρου γραμματικοῦ φέρεται τόδε ἐπὶ τῇ ἀθροίσει τῶν βουκολικῶν ποιημάτων· Βωκολικαὶ μοῖσαι σποράδες ποκά, νῦν δ’ ἅμα πᾶσαι ἐντὶ μιᾶς μάνδρας, ἐντὶ μιᾶς ἀγέλης.

Anec Est 5 ὅτι ἐκ τοῦ προειρημένου ἐπιγράμματος Ἀρτεμιδώρου στοχάσαιτ’ ἄν τις, [ὅτι del. Kayser] διεσπαρμένα ὄντα τὰ βουκολικὰ εἰδύλλια πρότερον αὐτὸν τὸν Ἀρτεμίδωρον συνάξαι καὶ οὕτω συνθεῖναί τε καὶ κατατάξαι· ὃ δὴ καὶ Ἀρίσταρχον ἐν τοῖς Ὁμήρου πεποιηκέναι λέγεται. προτέθεικε δὲ ὁ συντάξας αὐτὰ τὸ παρὸν εἰδύλλιον πρῶτον διὰ τὸ χαριέστερόν τε ὁμοῦ καὶ τεχνικώτερον εἶναι, ἑπόμενος τῷ Πινδάρῳ εἰπόντι (Ol. VI 3). ‘ἀρχομένου δ’ ἔργου πρόσωπον χρὴ θέμεναι τηλαυγές.‘ καίτοι γε, ὅσον κατὰ τὴν ὑπόθεσιν, οὐ πρῶτον, ἀλλὰ περί που τὰ μέσα τεθῆναι ἔδει. Δάφνιν γάρ, ὃς ἐνταῦθα τεθνηκὼς παρεισάγεται, ἐν τοῖς ἑξῆς εἰδυλλίοις ζῶντα παρεισάγει. ὅτι πάσης ποιήσεως τρεῖς ἐχούσης χαρακτῆρα ς , διηγηματικόν, δραματικὸν καὶ μικτόν, τὸ βουκολικὸν ποίημα μῖγμά ἐστι παντὸς εἴδους, ὥσπερ συγκεκραμένον [τῇ ποικιλίᾳ delevi].

Anec Est 6 διὸ καὶ χαριέστερόν ἐστι τῇ ποικιλίᾳ τῆς κράσεως. D ποτὲ μὲν γὰρ διηγηματικόν ἐστι, ποτὲ δὲ δραματικόν, ποτὲ δὲ μικτόν. ἔστι δὲ δραματικὸν μὲν τὸ μηδαμῇ γε ἐμφαῖνον τὸ πρόσωπον τοῦ ποιητοῦ, διηγηματικὸν δὲ τὸ διόλου ἐμφαῖνον, μικτὸν δὲ τὸ πῇ μὲν ἐμφαῖνον, πῇ δὲ οὔ. ἐν πᾶσι δὲ ὅσον οἷόν τε τὰ τῶν ἀγροίκων ἤθη ἐκμάσσεται τερπνῶς πάνυ τοὺς τῇ ἀγροικίᾳ σκυθρωποὺς λόγους χαρακτηρίζουσα. ὅθεν ἐκπέφευγε τὸ ἄγαν ἁδρὸν καὶ ὑπέρογκον τῆς ποιήσεως. τριῶν γὰρ ὄντων τῶν χαρακτήρων τοῦ λόγου, ἃ δὴ καὶ πλάσματα καλοῦσιν, ἁδροῦ, μέσου καὶ ἰσχνοῦ, καὶ ἁδροῦ μὲν ὄντος, ὃ καὶ τῇ τῶν λόγων καὶ τῇ τῶν νοημάτων κατασκευῇ μεγάλας ἐμφάσεις ἔχει, ἰσχνοῦ δέ, ὃ καὶ τῇ ὕλῃ τῶν πραγμάτων καὶ τῇ λέξει τυγχάνει ὂν ταπεινόν, μέσου δέ, ὃ καὶ ἑκατέρου μετέχει, τοῦ μὲν ἰσχνότερον, τοῦ δὲ ἁδρότερον—καὶ τοῦ μὲν ἁδροῦ παράδειγμα Θουκυδίδης, τοῦ δὲ ἰσχνοῦ Λυσίας, τοῦ δὲ μέσου Δημοσθένης—, τὸ βουκολικὸν ποίημα τὰ δύο ἐκφυγὸν τὸ ἰσχνὸν ἀσπάζεται. ἐννοίαις τε γὰρ ἀνάγκη χρῆσθαι προσηκούσαις ἀγροίκοις, ταύτας δὲ εὐτελεστάτας εἶναι ἀνάγκη. λέξεις τε ταῖς ἐννοίαις οὐκ ἀπᾳδούσας ἀνάγκη εἶναι·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλως γὰρ ἀσύμφωνος αὐτὸς ἑαυτῷ ἔσται ὁ λόγος. συμπλέκει δὲ ὅμως αὐτῷ τὸ ἀνθηρὸν τῶν λόγων εἶδος, ὃ δὴ χάριν ὁμοῦ καὶ κάλλος ἔχον τέρπει καὶ ἥδει ὥσπερ ἄνθος τοὺς ἀκροατάς. cf. Kayser 80 seqq. ὅτι Δωρίδι διαλέκτῳ χρῆται οὐ μόνον, διότι Συρακούσιος ἦν, οἱ Δωριεῖς ἦσαν, οὐδ’ ὅτι διὰ ταύτης μᾶλλον μιμεῖται τὰς τῶν ἀγροίκων φωνάς—χρῆται γὰρ αὕτη τῷ α καὶ τῷ ω —μέγα τὰ πολλά, ἃ δὴ παχεῖαν ἀπεργάζεται τὴν φωνὴν ἅτε προφερόμενα τοῦ στόματος ὅτι μάλιστα ἠνεῳγμένου, τοιαύτη δὲ καὶ ἡ τῶν ἀγροίκων φωνή—, ἀλλ’ ὅτι [καὶ delevi] ᾗ ἂν ἄλλῃ παρὰ ταύτην καὶ τὴν Αἰολίδα ἐχρήσατο, ἢ λέξεσιν (ἢλσέεσιν cod.

Anec Est 7 , corr. Marx) ὑψηλαῖς ἂν ἐχρήσατο ταῖς ἐννοίαις οὐ προσηκούσαις, ὅπερ τῶν ἀτόπων ἐστίν, ἢ πάντῃ ἀφελέστατον ἂν ἐπεποιήκει τὸν λόγον καὶ ἀγροῖκον αὐτόχρημα. ἡ δὲ Δωρὶς διάλεκτος τῷ μὴ κατημαξευμένας ἔχειν τὰς λέξεις ὁμοῦ τε μιμεῖται εἰς ἄκρον 〈ἀγροίκων ὁμιλίας addidi e § 1〉 ἐννοίαις χρωμένη χθαμαλαῖς καὶ ἡδονὴν οὐκ ὀλίγην καὶ τέρψιν ἀγροικίας ὁμοῦ καὶ ποιητικῆς ἐμμελείας μεστὴν παρέχει τοῖς ἀκροαταῖς. χρῆται δ’ ἔσθ’ ὅτε καὶ Αἰολίδι, σπανίως γε μὴν διὰ τὸ Δωριέα εἶναι, οὐκ Αἰολέα. καὶ Ἰάδι χρῆται, καὶ ταύτῃ σπανίως, ἐπειδὰν ἀνεγεῖραι βούληται τὸν νοῦν τῶν ἀκροατῶν. διπλῆς δὲ οὔσης [καὶ delevi] τῆς Δωρίδος, καὶ τῆς μὲν παλαιοτέρας οὔσης καὶ τραχείας ὁμοῦ καὶ δυσνοήτου, ᾗ ἐχρήσατο Σώφρων καὶ Ἐπίχαρμος, θατέρας δὲ εὐκολωτέρας καὶ μαλθακωτέρας, ἀνειμένης τε καὶ χθαμαλῆς μᾶλλον, αὐτὸς τὴν προτέραν ὡς δυσχερεστέραν καταλιπὼν τὴν δευτέραν ἀσπάζεται. ὅτι εἰδύλλι α , ἀλλ’ οὐ διαλόγους καλοῦσι (καλοῦνται cod.

Anec Est 8 , corr. Kayser) τὰ βουκολικὰ ποιήματα· καίτοι διαλέγεται ἐνταῦθα πρόσωπα, ὥσπερ κἀν τοῖς Λουκιανοῦ διαλόγοις. ἐπειδὴ γὰρ διάλογος ὄνομα οὐκ ἂν ἥρμοζε πᾶσι τοῖς εἰδυλλίοις— πολλὰ γὰρ αὐτῶν οὐκ εἰσὶ διαλογικά—, ἣν ἂν οὖν ἀπρεπὲς οὐχ ἑνὶ γενικῷ ὀνόματι, ἀλλὰ πλείοσι διαφόροις ἐπιγράψαι τὰ οἰκεῖα ποιήματα. διὰ τοῦτο εἰδύλλια ὑπεγράφησαν (ὑπεργρ. cod., ὑπερεγρ. Kayser) οἱονεὶ μικρὰ εἴδη. εἴδη γὰρ λόγου καὶ τὸ διηγηματικὸν καὶ τὸ δραματικόν, ἐξ ὧν σύγκειται τὸ βουκολικὸν ποίημα. καὶ ἅμα ἀπὸ τοῦ εἴδω τὸ ὁμοιῶ εἰδύλλια ἂν εἰκότως λέγοιτο· ἐοικότες γάρ εἰσι τοῖς προσώποις οἱ λόγοι c τοῦ βουκολικοῦ ποιήματος. οἱ δὲ ἠδύλλιον ἀπὸ τοῦ ἥδω τὸ εὐφραίνω, ἀλλ’ οὐκ εἰδύλλιον ἀπὸ τοῦ εἶδος λέγοντες παντελῶς εἰσιν ἀμαθεῖς. a ὅτι τὸ πρῶτον τοῦτο εἰδύλλιον δραματικόν ἐστιν· οὐ γὰρ δείκνυται τὸ πρόσωπον τοῦ ποιητοῦ.

Anec Est 9 διάκειται δὲ τὰ πράγματα ἐν Σικελίᾳ. παρεισάγεται δέ τις ποιμὴν Θύρσις πρὸς αἰπόλον διαλεγόμενος, οὗ τὸ ὄνομα ἀγνοεῖται· φασὶ δὲ Ib—e ἢ Κομάταν ἢ Μενάλκαν αὐτὸν εἶναι. παρεῖται δέ, φασίν, τὸ τοῦ αἰπόλου ὄνομα, ἐπειδὴ ὁ ποιμὴν ἔμελλε τὰ τοῦ Δάφνιδος πάθη ᾄσειν. προλογίζει μὲν οὖν ὁ ποιμὴν (αἰπόλος ante corr.

Anec Est 10 ) καὶ δῶρα ἐπαγγέλλεται δώσειν τῷ αἰπόλῳ (corr. e ποιμένι) δευτερεῖα μετὰ τὸν Πᾶνα (corr. e ποιμένα). ἀποκρινόμενος δὲ ὁ αἰπόλος ὁμοῦ τε ἐπαινεῖ τὸν Θύρσιν καὶ δῶρα καὶ αὐτὸς ἐκείνῳ ἐπαγγέλλεται δώσειν δευτερεῖα μετὰ τὰς Μούσας. ἔπειτα ὁ ποιμὴν παρακαλεῖ τὸν αἰπόλον συρίσαι. ὁ δὲ ἀπανηνάμενος τοῦτο διὰ τὸ δεδοικέναι τὸν Πᾶνα αὐτὸς παρακαλεῖ τὸν ποιμένα ᾆσαι τὰ τοῦ Δάφνιδος πάθη δῶρα τε ἐπαγγέλλεται αἶγα διδυματόκον [ὡς del. librarius] ἐπὶ τὸ ἀμέλξαι αὐτὴν τρὶς καὶ κισσύβιον ἥδιστον, ὃ καί (hic abrumpitur tractatus). Θύρσις ἢ Ὠιδή Θεοκρίτου Θεοκρίτου Θύρσις ἢ Ὠιδή· τουτέστιν ὁ βουλόμενος Θύρσιν ὑπογραφέτω, ὁ θέλων Ὠιδήν· Θύρσις γάρ ἐστιν ὁ ποιμὴν ὁ αὐλῶν, ᾠδὴ δὲ τὸ μέλισμα τὸ φθεγγόμενον.

1 arg [a] E b AT αὕτη ἡ ὑπόθεσις εἰς Δάφνιν γέγραπται, ὃς διὰ τούτου μὲν τοῦ εἰδυλλίου τέθνηκε, διὰ δὲ τῶν ἑξῆς ὡς ζῶντος αὐτοῦ μνημονεύει.

1 arg b ὅμως τοῦτο προτέτακται διὰ τὸ χαριέστερον καὶ τεχνικώτερον τῶν ἄλλων μᾶλλον συντετάχθαι· καὶ Πίνδαρος KQE b APT (Ol. VI 3) γάρ· ‘ἀρχομένου δ’ ἔργου‘, φησί, ‘πρόσωπον χρὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θέμεν τηλαυγέσ‘. ἔστι δὲ ἀμοιβαῖον καὶ δραματικώτερον μὴ ὑποδεικνυμένου τοῦ ποιητικοῦ προσώπου. τὰ μὲν πράγματα διάκεινται ἐν Σικελίᾳ· ποιμὴν δέ τις εἰσάγεται πρὸς αἰπόλον διαλεγόμενος, οὗ τὸ ὄνομα οὐκ ἔστιν εἰπεῖν.

1 arg d ἐν τούτῳ τῷ εἰδυλλίῳ διαλέγονται πρὸς ἑαυτοὺς Θύρσις ποιμὴν καὶ αἰπόλος, ἤτοι Μενάλκας ἢ Κομάτας· ἀγνοεῖται γὰρ τοῦ αἰπόλου τὸ ὄνομα. πῶς οὐχ ὑπεγράφη ἐν τῷ εἰδυλλίῳ τούτῳ τὸ τοῦ αἰπόλου ὄνομα, ἀλλὰ τοῦ ποιμένος; διὰ τὸ μέλλειν παρεισαχθῆναι τὸν ποιμένα κρειττόνως τῇ καλάμῃ φθεγγόμενον.

1 1a ἀδύ τι τὸ ψιθύρισμα : οἱ Δωριεῖς τρέπουσι τὸ η τὸ δασὺ εἰς α ψιλὸν ὑπεξαιρουμένων τῶν ἄρθρων. ἀδύ τι : ψιλοῦται τὸ α .

1 1b οἱ γὰρ Δωριεῖς τὸ η τὸ δασὺ εἰς α ψιλὸν τρέπουσιν ὑπεξαιρουμένων τῶν ἄρθρων· τὸ γὰρ ἡ τὸ ἄρθρον τραπὲν εἰς ἁ οὐ ψιλοῦσιν, ἀλλὰ δασύνουσιν. ψιθύρισμα : τὸ μινύρισμα.

1 1c ὠνοματοπεποίηται δὲ ἡ λέξις παρὰ τὴν τοῦ ἤχου ἰδιότητα κατὰ μίμησιν τῆς φωνῆς. ψιθύρισμα : μέλισμα, μέλος, λάλημα, ὅθεν καὶ τὸ ψίθυρος ὁ λάλος.

1 1d ἡ δὲ φωνὴ τῶν κατὰ μίμησιν, καθάπερ καὶ τὸ κελαρύζειν. Ὅμηρος (Φ 261)· ‘κατειβόμενον κελαρύζει‘. γίνεται δὲ ἀπὸ τοῦ ψίω τὸ λεπτύνω, ἐξ οὗ καὶ ψιὰς παρ’ Ὁμήρῳ (Π 459). κυρίως δὲ λέγεται ψιθυρίζειν τὸ ἐν τοῖς ὠσί τινα λεπτὸν ἦχον ἠχεῖν παρὰ τὸ ψίειν ἐν ταῖς θύραις ἤτοι ταῖς ἀκοαῖς· καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν δένδρων. ψιθυρίζουσι γοῦν αἱ πίτυς, ὅταν ῥιπισθῶσι, τῇ στενότητι τῶν φύλλων σχιζομένης τῆς πνοῆς, ὡς Ἀριστοφάνης ἐν Νεφέλαις (v. 1008)· ‘ἦρος ἐν 〈ὥρᾳ〉 χαίρων, ὁπόταν πλάτανος 〈πτελέᾳ〉 ψιθυρίζῃ‘. ἡ δὲ ἔννοια καὶ τὸ ἑξῆς ἔχει οὕτως· ἡδὺ μὲν τὸ τῆς πίτυος ψιθύρισμα ἐκείνης τῆς παρὰ ταῖς πηγαῖς λιγυρῶς ᾀδούσης· ἡδὺ δὲ καὶ σύ, ὦ αἰπόλε, συρίζεις. KGEAT ψιθύρισμα : ψιθυρίζουσι γὰρ αἱ πίτυς πρὸς τὰς πνοὰς τῶν ἀνέμων σχιζόμεναι.

1 1e ψιθύρισμα δὲ ἢ τὸ μέλισμα ἢ τὸ σύριγμα ἢ τὸ κροῦμα. PT ψιθυρίζειν τινὲς ὀνοματοποιεῖσθαί φασιν, ὡς τὸ ‘κρίκε δὲ ζυγόν‘ (Π 470) καὶ τὸ ‘σίζε δὲ ὀφθαλμόσ‘ (ι 394).

1 1[f] κυρίως δὲ ἐπὶ τῶν ψευδομένων τὸ ψιθυρίζειν λαμβάνουσιν. ἔστι γὰρ ψίθυρ ψίθυρος ὡς μάρτυρ μάρτυρος καὶ ψίθυρος ψιθύK ρου ὡς μάρτυρος μαρτύρου· τὸ δὲ ψίθυρ παρὰ τὸ ψύθος, ὃ σημαίνει τὴν λοιδορίαν, ἢ παρὰ τὸ ψίω τὸ λεπτύνω καὶ τὸ θύρα· σημαίνει δὲ τὰ χείλη περιφραστικῶς. τὸ δὲ ψύθος ἀπὸ τοῦ ψεῦδος ἀποβολῇ τοῦ ε καὶ τροπῇ τοῦ δ εἰς θ , ψύδος καὶ ψύθος. γίνεται δὲ καὶ τὸ ψίω ἀπὸ τοῦ ψῶ ἢ ἀπὸ τοῦ ψαύω, ἀφ’ οὗ ψιὰς ἡ κατὰ λεπτὸν τοῦ ὕδατος ἔκδοσις, ὡς λάμπω λαμπάς, ἴλλω ἰλλάς· Ὅμηρος (Ν 572)· ‘ἰλλάσιν οὐκ ἐθέλοντα‘· οἱ δὲ παρὰ τὸ ψίσω τὸ ποτίσω. καὶ ἁ πίτυς : λείπει τὸ πεφυκυῖα.

1 1g ἥδιον δὲ τὸ τῆς πίτυος ψιθύρισμα, ὅταν ῥιπισθῇ, τῇ στενότητι τῶν φύλλων σχιζομένης τῆς πνοῆς. αἰπόλοι δέ εἰσιν οἱ ἐν τοῖς αἴπεσι, τουτέστιν ὑψηλοῖς καὶ τραχέσι τόποις, τὰς αἶγας νέμοντες· οὕτω γὰρ φιλεῖ τὸ ζῷον.

1 1h ἢ διὰ τὸ περὶ τὰς αἶγας πολεῖν. τήνα : εὐθεῖα ἀντὶ τοῦ ἐκείνη.

1 1i οἱ Δωριεῖς γὰρ τὸ ἐκεῖνος τῆνος λέγουσι, τήνη καὶ τήνα ἀναλόγως τὰ θηλυκά. τήνα : ἀντὶ τοῦ ἐκείνη Δωρικῶς.

1 1k οἱ γὰρ Δωριεῖς ποτὲ μὲν γράφουσι τὸ τ ἀντὶ τοῦ κ , ποτὲ δὲ τὸ κ ἀντὶ τοῦ τ . νῦν δὲ τὸ τ ἀντὶ τοῦκ · ἐκείνη γὰρ ἦν καὶ κατ’ ἀφαίρεσιν τοῦ ε κείνη καὶ κατὰ Δωριεῖς κείνα καὶ τροπῇ τοῦ κ εἰς τ καὶ τοῦ ε εἰς η τήνα ὑπεκθλίψει τοῦ ι . ποτί : πρόθεσις Δωρική ἐστιν ἀντὶ τῆς πρός.

1 2[a] ἡ γὰρ πρὸς ἀποβάλλει τὸ ρ Δωρικῷ ἔθει καὶ τρέπει τὸ ς εἰς τ , καὶ πλεονασμῷ τοῦ ι ποτί· διότι οὐ δύναται λέξις Ἑλληνικὴ εἰς ἄφωνον καταλήγειν, προσλαμβάνει τὸ ι . μελίσδεται : διὰ τοῦ ζ ἡ γραφή· τὸ γὰρ μελίσδω Αἰολικόν ἐστι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 2b μελίσδεται δὲ ἀντὶ τοῦ μελίζει, ὅ ἐστι λιγυρῶς ἠχεῖ καὶ ᾄδει. μέλι γὰρ τὰς ᾠδὰς ἔλεγον, ὡς καὶ Πίνδαρος (fgm. 97 Schroeder Poet. lyr. gr. I 1 5, 422) τὸν Πᾶνα KGEAT φάσκων ‘τὸ σαυτοῦ μέλι γλάζεισ‘, τουτέστιν ἑαυτῷ ᾠδὴν ᾄδεις. καὶ τύ : ἀντὶ τοῦ σὺ κατὰ τροπὴν Δωρικὴν τοῦ ς εἰς τ .

1 2[c] εἰσὶ γὰρ ἀντωνυμίαι, αἵτινες ἐπεκτείνονται, ὥσπερ τὸ ἐγὼ ἐγώνη καὶ τὸ ἐμὶν ἐμίνη, τὶν τίνη· οὕτως ἐστὶ καὶ τὸ σὺ τὺ καὶ κατ’ ἐπέκτασιν τύνη. K συρίσδες : ἀντὶ τοῦ συρίζεις Δωρικῶς.

1 3/4a οἱ γὰρ Δωριεῖς τὰ δεύτερα πρόσωπα τῶν ῥημάτων εἰς ες λήγουσι τὸ ι μόνον ἐκθλίβοντες· τὸ συρίζεις γὰρ συρίζες γράφουσι, τὸ δὲ συρίζειν συρίζεν. διαλύουσι δὲ τὸ ζ εἰς τὰ ἐξ ὧν ἦν συγκείμενον στοιχεῖα. μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον : ἀντὶ τοῦ· πρῶτον ὁ Πάν, δεύτερον σύ· τὰ δεύτερα ἆθλα τοῦ Πανὸς ἀποίσῃ, τῶν δὲ ἄλλων τὰ πρῶτα.

1 3/4b KGEAT τὸν Πᾶνα οἱ μέν φασιν υἱὸν Πηνελόπης καὶ πάντων τῶν μνηστήρων καὶ διὰ τοῦτο λέγεσθαι καὶ Πᾶνα· Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασι (fgm.

1 3/4c 16 Diels Fgm. d. Vorsokr. II 3 192) Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ Ἀρκάδα διδύμους· Ἀρίστιππος KGEAPP m T δὲ ἐν τοῖς Ἀρκαδικοῖς (fgm. 2 Mueller Fgm. hist gr. IV 327) Διὸς καὶ νύμφης Οἰνηΐδος. οἱ δὲ λέγουσιν, [ὅτι διὰ τοῦτο Πὰν καλεῖται,] ὅτι ἀπάτωρ ἐστί, σημεῖον δὲ τοῦ παντός, ὅθεν κυρίως προσαγορεύεται Πάν.

1 3/4d συνοικειοῦται δὲ καὶ ἡ μορφὴ αὐτοῦ τῷ περιέχοντι· καὶ τὸ μὲν τῶν κεράτων ἀπομίμημα ἡλίου καὶ σελήνης μηνίσκους φασὶν εἶναι· τὸ δὲ παρδαλῆν ἐνῆφθαι τῆς [γῆς] 〈τῶν ἄστρων〉 φαντασίας εἵνεκα· τὰ δὲ κάτω 〈τραγώδη καὶ〉 λάσια τῶν τῆς γῆς στερρῶν καὶ τῶν ἐν αὐτῇ πεφυκότων· τὴν δὲ σύριγγα τῶν ἐν τῷ κόσμῳ πνευμάτων μίμησιν εἶναι. τὸ δὲ αἰγίπουν τὰς καταιγίδας καὶ ἀπὸ τῶν νεφῶν γινομένας περὶ τὸν ἀέρα μεταβολάς. 〈...〉 τὰς αἰφνιδίους ταραχάς 〈...〉 . 〈.

1 3/4e ..〉 καὶ τὰ κάτω 〈λάσια〉 , τουτέστι τοὺς μηροὺς δασεῖς, σημαίνοντας τοὺς ὑλώδεις τόπους· καὶ τὰ κάτω τραγώδη σημαίνοντα τῶν ὀρῶν τὰ τραχέα. ἔχει δὲ καὶ τῇ μιᾷ χειρὶ τὸ δρέπανον σημαῖνον τὴν ἐργασίαν, τῇ δὲ ἄλλῃ τὴν σύριγγα σημαίνουσαν τοὺς ἀνέμους. 〈.

1 3/4f ..〉 Ἀπολλόδωρος δέ φησι τὸν μὲν αὐτόχθονα, τὸν δὲ Διὸς καὶ 〈Καλλιστοῦς ... ὁ〉 Κεφαλληνεὺς ἐν Θήραις τῆς KE Ἀρκαδίας φησὶ γεννηθῆναι τὸν Πᾶνα, ὄντα Πηνελόπης καὶ Ἑρμοῦ υἱόν. Θεόξενος δὲ οὐράνιον τὸν Πᾶνά φησιν. Διδύμαρχος δέ φησι γηγενῆ αὐτὸν εἶναι. ἀποισῇ [καὶ λαψῇ] περισπαστέον, ἐπεὶ τοὺς μέλλοντας τῶν ὁριστικῶν περισπῶσιν οἱ Δωριεῖς, οἷον δεξῇ γραψῇ τυψῇ ποιησῇ καὶ τοὺς ὁμοίους.

1 3/4g οὕτω καὶ τὸ λαψ ῇ . ἀποισῇ : κομίσῃ, ὡς τὸ λαψῇ ἀντὶ τοῦ λήψῃ· τοὺς γὰρ μέλλοντας περισπῶσιν οἱ Δωριεῖς.

1 3/4i αἴκα : εἴκε τροπῇ τῆς ει εἰς αι . τὸ δὲ α τοῦ συνδέσμου κακῶς [δὲ] ἐξέτεινε, τῶν Δωριέων εἰς α βραχὺ τρεπόντων, ὡς Ἄρτεμις Ἄρταμις· κατιὼν δὲ καὶ συστέλλει. αἴκα : ἀντὶ τοῦ εἴκεν ἐστὶ τὸ αἴκα.

1 3/4k ἀλλὰ τὴν ει τρέπουσιν εἰς αι , τὸ δὲ ε τρέπουσιν εἰς α βραχύ, οἷον Ἄρτεμις Ἄρταμις. κακῶς οὖν ὁ Θεόκριτος ἐκτείνει τὸ α τοῦ δυναμικοῦ συνδέσμου τοῦ κα · τῶν γὰρ Δωριέων εἰς α βραχὺ τρεπόντων οὗτος 〈καὶ〉 ἐξέτεινε καὶ συνέστειλεν. κεραὸν τράγον : μέγαν.

1 5/6a αἶγα λάβῃ τῆνος : ἤγουν εἰ μὴ ἔχει τις τράγον διδόναι τῷ θεῷ καὶ δώσει αἶγα θήλειαν, σὺ λήψῃ χίμαρο ν . ἐπὶ θηλυκοῦ· χίμαρος γὰρ ἀρσενικῶς μὲν ὁ τράγος, θηλυκῶς δὲ ἡ ἐνιαυσιαία αἴξ, ἡ ἑνὸς χειμῶνος οὖσα. μᾶλλον δὲ ἀδύEAT νατον μὴ ἔχειν τινὰ τράγον· ἀλλ’ εἰ θελήσει ὁ θεὸς αἶγα λαβεῖν, σοὶ δοθήσεται χίμαρος. καταρρεῖ : μεταφορικῶς ἀντὶ τοῦ κατενεχθήσεται.

1 5/6b τὸ σύντονον τῆς δόσεως διὰ τοῦ καταρρεῖ δηλοῖ. KGEAT χίμαρός ἐστιν αἲξ ἑνὸς χειμῶνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 5/6c κρῆς δὲ Δωρικῶς τὸ κρέας. P ἔστε : ἕως οὗ ἀμελξῆ ς , ἀντὶ τοῦ ἀμέλξεις, ἤτοι μέχρις οὗ ἐστιν ἀνήμελκτος.

1 5/6d ἐκ δὲ τούτου τὴν μήπω τετοκυῖαν δηλοῖ. ὅτι δὲ τῆς μήπω τετοκυίας τὸ κρέας ἥδιόν ἐστι, καὶ Ἡσίοδος (Op. 591) μαρτυρεῖ· ‘καὶ βοὸς ὑλοφάγοιο κρέας μήπω τεKGEAPT τοκυίας.‘ γράφεται καὶ ἔστε κ ’ ἀμελξῆ ς , ἀντὶ τοῦ μέχρις ἂν ἀμέλξῃς.

1 5/6[e] P γράφεται καὶ ἔσ τ ’ ἂν ἀμελξῆ ς .

1 5/6[f] T καταχές : τὸ ἐν τῷ καταφέρεσθαι ἠχοῦν ἢ ὅπερ ὑπάρχει καταχεόμενον.

1 7b ἢ τὸ καταχές : τὸ καταχεόμενον ἢ τὸ ὑπηχοῦν καὶ ὑπορροιζοῦν ἐν τῷ καταφέρεσθαι. KGAT καταχές : κατωφερὲς ἢ ἠχοῦν.

1 7c PT 〈καταχές:〉 ἐκτατέον τὸ τα διὰ τὸ εἶναι Δωρικόν, ὥς φησιν Ἀσκληπιάδης, ἐπεί φησιν, ὅτι καὶ βραχύνεται.

1 9a Μῶσαι : παραβέβληται ὁ μὲν αἰπόλος τῷ Πανί, ὁ δὲ ποιμὴν ταῖς Μούσαις. τὸ δὲ Μῶσαι Δωρικόν. 〈 οἴιδα : 〉 τὸ μικρὸν πρόβατον λέγουσι.

1 10a 〈 σακίταν : 〉 ἐν τῷ σηκῷ, λιπαρόν. 〈 σακίταν : 〉 τὸν ἐν τῷ σηκῷ ἤγουν τῇ μάνδρᾳ τιτ 〈θ〉 ιζόμενον ἤτοι γαλαθηνόν.

1 10c 〈 σακίταν : 〉 σηκίτην, λιπαρόν, γαλαθηνόν. λῆς ποτὶ τᾶν Νυμφᾶν : ἀντὶ τοῦ βούλει, ἀπὸ τοῦ λῶ τὸ θέλω· ὅθεν καὶ λῷον τὸ ἐπωφελές, ὃ πάντες θέλομεν.

1 12b Δωρικῶς δὲ τὸ λῆς κατ’ ἀφαίρεσιν τῆς θε συλλαβῆς. λῆς : θέλεις ἣν καὶ διαλύσει τῆς ει διφθόγγου εἰς ε καὶ ι καὶ τροπῇ τοῦ ε εἰς η μένοντος καὶ τοῦ ι προσγεγραμμένου 〈.

1 12c ..〉 . ὁ Θύρσις δὲ τοῦτο λέγει.

1 12e τῇδε καθίξας : ἐνθάδε ἢ ἐκεῖσε καθίσας, τροπῇ τοῦ ς εἰς ξ Δωρικῶς. οἱ γὰρ Δωριεῖς τὸν μέλλοντα τῆς τετάρτης συζυγίας τῶν βαρυτόνων τῆς ληγούσης εἰς ζ διὰ τοῦ ξ ἐκφέρουσιν.

1 13a κάταντες τοῦτο : παρὰ μὲν Ὁμήρῳ (Ψ 116) τὸ κατωφερὲς δηλοῖ, ἐνταῦθα δὲ τὸ κατ’ ἐναντίας. KGEAPT τὸν κατωφερῆ τόπον ἢ τὸν ὑψηλόν.

1 13b GEAT γεώλοφον : τόπος προέχων ἀπὸ τῆς γῆς μικρόν, τουτέστιν ὑψηλὸς τόπος, κολωνός.

1 13d γεώλοφος ὁ ἐν τῷ ὁμαλῷ πεδίῳ ὑπερανεστηκὼς ὄχθος, ὃς καὶ κολωνὸς καλεῖται. ET πῶς τῆς γαίας διφθογγογραφουμένης ψιλογραφεῖται τὸ γεώλοφος ὡς καὶ τὸ ἀνώγεων καὶ κατώγεων; ἡ γαῖα παρὰ τοῖς παλαιοῖς ἐψιλογραφεῖτο ὡς καὶ τὰ παρ’ αὐτῆς συγκείμενα· νῦν δὲ οἱ νέοι διφθογγογραφοῦντες οὐκ ἠθέλησαν τὴν τῶν EAT παλαιῶν συνήθειαν τελείως ἀπολιπεῖν, ἀλλ’ ἔθεσαν καί τινα ψιλογραφούμενα, γράψαντες οὕτως πλὴν τοῦ ἀνώγεων κατώγεων γεώλοφος.

1 13f ἇτε μυρῖκαι : εἶδος φυτοῦ ὡς ἐπὶ τὸ πλεῖστον ἐν KGE 1.2 APT ποταμοῖς φυόμενον· ἐφ’ αἷς μεσημβρίζειν εἰώθασι. τὸ μεσημβρινόν : μεσημερινὸν καὶ ἐκβολῇ τοῦ ε καὶ προσθέσει τοῦ β μεσημβρινόν.

1 15[b] 〈 ἄμμιν : 〉 γρ. ἁμῖ ν . ἀ π ’ ἄγρας : ἀπὸ τῆς θήρας.

1 17* ἔστι καὶ τροπῇ τοῦ ς εἰς ν ἔντ ι . καί οἱ ἀεὶ δριμεῖα : ἀντὶ τοῦ· διαπαντὸς ὀξύθυμός ἐστιν.

1 18b δριμεῖα χολά : ὀξύχολός ἐστι, παραδείκνυσιν αὐτοῦ τὸ ὀξύχολον. τὰ Δάφνιδος : τὰ περὶ τοῦ θανάτου τοῦ Δάφνιδός μοι λέγε.

1 19/20[b] ἀεῖδες 〈γράφεται ἄειδε 〉 ἀντὶ τοῦ λέγε. ἐπὶ τὸ πλέον ἵκεο μοίσας : ὁ νοῦς τοιοῦτος· καὶ ἐν τῇ βουκολικῇ ᾠδῇ πολὺ προβέβηκας, ὥστε σε νικᾶν ἅπαντας.

1 19/20d ἤγουν· ᾆσον ὡς ἔθος τοῖς βουκόλοις ᾄδειν. τῶ τε Πριήπω : Πρίηπος νύμφης Ναΐδος Χιόνης καὶ Διονύσου υἱός, ὃν κτίσαι περὶ Λάμψακον ὁμώνυμον αὐτῷ πόλιν φασί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 21/22a παρ’ ἐνίοις δὲ ὁ αὐτός ἐστι τῷ Διονύσῳ. καὶ ἐκ τῆς ἐτυμολογίας ὁ αὐτὸς φαίνεται· ἔστι γὰρ οἷον βριήπυος διὰ τὰς ἐν ταῖς βακχείαις καὶ μέθαις ἐκβοήσεις. ἢ Πρίηπος ἀπὸ τοῦ προΐεσθαι τὸ σπέρμα. κρανίδων : ἀντὶ τοῦ κρηνῶν, ἐκτὸς εἰ μή που τὰς Νύμφας οὕτω καλεῖ ὡς συγκαθιδρυμένας τῷ Πριήπῳ.

1 21/22b τινὲς δὲ τὸ κρανίδων κρανείας ἀπεδέξαντο, ἅ ἐστι δένδρα οὕτω καλούμενα. K 1.2 Q 1.2 E 1.2 A 1.2 PT κατεναντίον : κατέναντι τοῦ Πριήπου καὶ τῶν κρηνῶν.

1 21/22c KGEA τῆνος : ἀντὶ τοῦ ἐκεῖνος.

1 23-26a ἔστι δὲ εὐθεῖα· οἱ γὰρ Δωριεῖς τὸ ἐκεῖνος τῆνος λέγουσι καὶ τὸ ἐκείνη τήνα. K ὡς ὄκα τὸν Λιβύαθεν : ἐὰν δὲ ᾄσῃς, ὡς ᾖσάς ποτε ἐρίζων πρὸς τὸν ἀπὸ Λιβύης Χρόμιν, αἶγά σοι δώσω 〈 διδυματόκον 〉 · φασὶ δὲ τὰς πολυτόκους καὶ πολυχύλους εἶναι, ἤγουν πολυγαλάκτους.

1 23-26b KGEA διδυματόκον : δίδυμα τετοκυῖαν.

1 23-26c ἐς τὸ τρὶς ἀμέλξαι · πολὺ γὰρ ἔχουσι γάλα αἱ διδυματόκοι. οὕτω φησίν· ἡ αἲξ περιουσιάζεται τῷ γάλακτι, ὥστε μετὰ τὴν τῶν ἐρίφων τροφὴν καὶ δύο πέλλας πίμπλησι. τὰ δὲ ἀμόλγια πέλλας καλοῦσι παρὰ τὸ πίνειν ἐν αὐτοῖς. πέλλα δέ ἐστι γαλακτοδόχον ἀγγεῖον.

1 23-26[e] πέλλας : ξύλινα ἀγγεῖα ἀπὸ τοῦ πεπελεκῆσθαι. πελίωμα δὲ τὸ μέλαν. λέγομεν γὰρ πέλλην βοῦν τὴν τοιοῦτο χρῶμα ἔχουσαν· καὶ Πέλλη πόλις Μακεδονίας, ὅτι βοῦς αὐτὴν εὗρε πέλλη τὸ χρῶμα· καὶ Πελίας ὄνομα. πέλλας καὶ κισσύβια, ποιμενικὰ ἀγγεῖα.

1 27[a] κισσύβιον : τὸ ἀγροικικὸν ποτήριον, ἴσως ἀπὸ τοῦ κισσοῦ, ἐξ οὗ κατεσκευάζοντο τὰ ποτήρια. κοινοτέρως δὲ καὶ ἐπὶ πάντων τῶν ξυλίνων ποτηρίων ἡ λέξις τίθεται, παρὰ τὸ κεχύσθαι εἰς αὐτὸ τὸν οἶνον, οἷον χύω χύσω χυσσίβιον καὶ κισσύβιον. Ἡσίοδος (fgm. fals. 12 Rzach, ed. a. 1902, 417; cf. potius Callim. fgm. 109 Schneider, II 376)· ‘ὀλίγῳ δ’ ἥδεται κισσυβίῳ‘. κισσύβιον : ποτήριον παρὰ τὸ χεῖσθαι ἐν αὐτῷ τὸ πίνειν, χυσίπιόν τι ὄν.

1 27b ἢ ἀπὸ τοῦ κισσὸς κισσύβιον. 〈 κισσύβιον : 〉 ξύλινον ἔκπωμα κεκοσμημένον γομφίσι πολλαῖς.

1 27d κισσύβιον : ποιμενικὸν καυκίον ξύλινον, τὸ οἱονεὶ χυσίπιον. PT 〈 κισσύβιον : 〉 ἢ σκύφος ἢ γαλακτοδόχον ἀγγεῖον ἢ σκάφη ἢ ξύλινον ἄγγος ἀπερίεργον.

1 27[e] P m 〈 κεκλυσμένον : 〉 περικεχυμένον, κεχρισμένον.

1 27f K g 〈 κεκλυσμένον : 〉 κεχρισμένον, ἤγουν ὑπερχειλὲς ὂν μέλιτος.

1 27g E g ἀμφῶες : τὸ ἀμφοτέρωθεν ἔχον ὠτία· διὰ τούτου δὲ τὸ μέγεθος παριστᾷ.

1 28a KE g ἀμφῶες : δύο ὠτία ἔχον.

1 28b P νεοτευχές : ἤγουν τὸ νεωστὶ τορευθὲν καὶ γλυφέν.

1 28c K γλυφάνοιο : ὡς τὸ στέφω στέφανος, λείβω λίβανος, οὕτω καὶ γλύφω γλύφανος.

1 28d KGEAPT τὸ δὲ ποτόσδον ἀντὶ τοῦ μυρίζον.

1 28[e] PT ποτόσδον : τὸ ποτὶ ἀντὶ τῆς πρός, τὸ δὲ πρὸς ἀντὶ τῆς παρά.

1 28f K μαρύεται : μήρυμα ἀναλύεται καὶ ἀνέλκεται· μηρύω KGEAT δὲ τὸ κουβαρίζω.

1 29[b] μαρύεται : ἐπίκειται, ἐπιγέγραπται, κατὰ κύκλον ἔρχεται. μαρύεται : κλώθεται.

1 29[d] 〈 μαρύεται : 〉 ἐξήπλωται, ἐπικέχυται, ἀναλύεται, ἐντείνεται. ὑψόθι κισσός : ἀπὸ τούτου κισσύβιον [οἷον ἀπὸ τοῦ κισσὸς κισσύβιον].

1 30[a] ἐπανάληψις τὸ σχῆμα. ἑλιχρύσῳ : ἑλίχρυσος εἶδος φυτοῦ, οὗ τὸ ἄνθος χρυσοειδές.

1 30c

ἑλιχρύσῳ κεκονισμένος : ἤγουν συμπεπλεγμένος, κεχρισμένος. ἑλίχρυσος βοτάνη τίς ἐστι χρυσοειδής. ἑλιχρύσῳ : ὁ ἑλίχρυσος εἶδος φυτοῦ, οὗ τὸ ἄνθος ὅμοιον κρόκῳ καὶ οἷον χρυσοειδές.

1 30d ἄλλοι δὲ τὸν ἑλίχρυσον βοτάνην λέγουσι κροκοειδῆ καὶ χρυσίζουσαν. κεκονισμένος : συμπεπλεγμένος, κεχρισμένος.

1 31* 〈 ἀγαλλομένη : 〉 ἀγαλλίασιν ποιοῦσα καὶ χαίρουσα. ἔστι δὲ τοῦτο τῆς γλυκύτητος. ἔντοσθεν δὲ γυνά τι : τινὲς τὴν Πανδώραν φασί.

1 32 〈οὐ〉 δύναται δὲ ἐν τῷ γυνὴ εἶναι. τὸ δὲ τὶ πρὸς τὸ δαίδαλμα. ἄμπυκι : τῷ συνδέοντι τὰς τρίχας, ἀπὸ τοῦ ἀμπέχειν.

1 33b 〈 ἄμπυκι : 〉 τῷ τῆς κεφαλῆς δεσμῷ, ἤγουν τῇ καλύπτρᾳ. K g 〈 ἄμπυκι : 〉 κεφαλοδέσμῳ τὰ ἄνω πυκάζοντι.

1 33c E g ἐθειράζοντες : 〈γενειῶντεσ〉 καὶ καθεικότες τὰ γένεια.

1 34a ἢ κομῶντες. ἔθειραι δὲ αἱ ἐξ ἔθους τημελούμεναι τρίχες. KGEAPT 1.2 κομῶντες τὰς τρίχας, οὐ γενειῶντες, ὥς τινες.

1 34b ἔθειρα γὰρ ἡ θρὶξ τῆς κεφαλῆς. ὅθεν Ἀρίσταρχος ἐν Ὁμήρῳ (π 176) ἔγραψε· ‘κυάνεαι δ’ ἐγένοντο γενειάδες ἀμφὶ γένειον‘, οὐκ ‘ἐθειράδεσ‘. KGEAT Ἀμερίας δέ φησι τὸ ἐθειράζειν ὑπηρετεῖν, θεραπεύειν.

1 34c KGEA ἄλλοκα μέν : τὸ μέν τι νοήσεώς ἐστι, τὸ δὲ ὁράσεως· ἀδύνατον γὰρ ὁμολογουμένως ἐν γραφῇ κίνησιν εἶναι ζωτικήν· ἀλλὰ 〈.

1 36/37a ..〉 τῶν γλυπτῶν εἰκόνων κατάλληλοι KGEAT ἦσαν τοῖς λεγομένοις. ταῦτα καθ’ ὑπερβολήν· Ὅμηρος (Σ 418) 〈δὲ〉 ἔλεγεν ἀληθέστερον· ‘χρύσειαι ζωῇσι νεήνισιν ἐοικυῖαι.

1 36/37b ‘ κυλοιδιόωντες : οἱ οἰδοῦντες τὰ κύλα τὰ ὑπὸ τοὺς ὀφθαλμούς.

1 38a συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσιν ὡς ἐπίπαν οἰδαίνειν τὰ κύλα· ὅπερ οἱ πολλοὶ ἀναγκαίως δι’ ἔρωτα πάσχουσι. γίνεται δὲ παρὰ τὸ τὰ κύλα οἰδαίνειν, ἤγουν 〈τὰ ὑπὸ〉 τοὺς ὀφθαλμοὺς μεταθέσει τοῦ ἀντιστοίχου· κοῖλα γὰρ τὰ ὑποκάτω τῶν ὀφθαλμῶν.

1 38c οἱ τὰ κύλα τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς οἰδοῦντες καὶ ἐξογκούμενοι· κύλα δὲ τὰ ὑποκάτω τῶν ὀφθαλμῶν, τὰ ὑπώπια. κυλοιδιόωντες : παρὰ τὸ τὰ κύλα οἰδαίνειν, ἤτοι τὰ ὑποκάτω τῶν ὀφθαλμῶν 〈κοῖλα〉 μεταθέσει τοῦ ἀντιστοίχου.

1 38e τὸ δὲ ἐτώσια μοχθίζοντι · μάτην κάμνουσι. τίς γὰρ ἂν ἄγαλμα πεῖσαι δυνήσεται; μέτα : ἀντὶ τοῦ σύν.

1 39a ἔστι δὲ ἀναστροφὴ Ἰωνική. γριπεύς : ὁ ἁλιεύς, καὶ γρῖπος τὸ δίκτυον παρὰ τὸ τοὺς ἰχθύας ἀγρεύειν.

1 40a λεπράς : ἡ τραχεῖα πέτρα, ἡ ὑπὸ τῶν κυμάτων λεπιζομένη. ἢ ἡ ὑψηλή, ἐπεὶ καὶ λέπας τὸ ἄκρον τοῦ ὄρους φασίν. ἢ λευκὴ καὶ λέπρᾳ ἐοικυῖα. λεπράς : ἡ λευκή.

1 40b τινὲς δὲ τὴν τραχεῖαν ἔφασαν, τὴν ἐκλεπρωθεῖσαν καὶ ἐκσπιλωθεῖσαν καὶ οἷον ἐκβρωθεῖσαν. PT ἐς βόλον : ἀντὶ τοῦ εἰς ἄγραν.

1 40[c] K 〈 ἐς βόλον : 〉 εἰς βολὴν τῶν ἰχθύων.

1 40[d] E g κάμνοντι : τὸ ἰσχυρὸν τῆς δυνάμεως ἀνδρὶ ἀκμάζοντι ὅμοιον ἔχων.

1 41[b] 〈 τῷ καρτερῷ : 〉 γράφεται τὸ καρτερό ν , ἤτοι τὸ κατὰ δύναμιν, ἰσχυρῶς. K φαίης κεν : εἴποις ἂν αὐτὸν ἐκ τῶν μελῶν τοῦ σώματος ἁλιεύειν ἢ ἐκ πάσης δυνάμεως ἧς ἔχει.

1 42a KGEAT τὸ δ’ ἐλλοπιεύειν τὸ τοὺς ἰχθῦς λαμβάνειν· ἔλλοπες γὰρ οἱ ἰχθύες ἢ παρὰ τὴν λεπίδα ἢ ὅτι ἐλλειπομένην ἔλλοπες γὰρ οἱ ἰχθύες ἐλλοπιεύειν ἐστὶ τὸ ἔλλοπας, ἤγουν ἰχθῦς, ἀγρεύειν·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔλλοπες γὰρ οἱ ἰχθύες παρὰ τὸ ἐν λεπίσιν εἶναι ἢ παρὰ τὸ λεπιδωτὸν τῶν ἰχθύων ἢ παρὰ τὸ ἐλλείπεσθαι ὀπὸς καὶ φωνῆς.

1 42c PT ᾠδήκαντι : Αἰολικῶς ἢ Δωρικῶς.

1 43a οἰδῶ οἰδήσω 〈...〉 ἀντὶ τοῦ τεταυρισμένος καὶ πεφυσιωμένος ὢν καὶ ἐξKGEAT ωγκωμένος· οἰδῶ γὰρ τὸ ὀγκοῦμαι. ᾠδήκαντι : οἰδῶ οἰδήσω ᾤδηκα.

1 43b οἱ Δωριεῖς τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος ὁμόφωνον ποιοῦσι τῇ δοτικῇ τῶν ἑνικῶν τῆς μετοχῆς. ἔστι γὰρ ᾠδήκω ῥῆμα ἀπὸ τοῦ παρακειμένου γινόμενον Σικελικῶς ὡς τὸ τετύκω κεκλάγω· καὶ Αἰολικῶς ᾠδήκημι καὶ ὁ ὑποτακτικὸς ᾠδήκω, ἡ μετοχὴ ὁ ᾠδήκας τοῦ ᾠδήκαντος, ἡ δοτικὴ ᾠδήκαντι.

1 43d 〈 ᾠδήκαντι : 〉 ἐξωγκωμένοι ἦσαν· τοιοῦτοι γὰρ οἱ κοπιῶντες. ἶνε ς: τὰ παρακολουθοῦντα νεῦρα ταῖς φλεψίν.

1 43e ἐλέγετο δὲ παρ’ αὐτὰς καὶ ὁ υἱὸς ἶνις· ἀπὸ γὰρ τούτων τῶν μερῶν τὸ σπέρμα συνάγεσθαι δοκεῖ. πολι ῷ:: ἤγουν λευκῷ· τὸ γὰρ λευκὸν πολιὸν λέγεται.

1 44[a] ἢ παλαιὸν καὶ πολιόν· ὡς γὰρ ἐπὶ τὸ πλεῖστον ἐν γήρᾳ γίνεται ἡ πολιά. ἄξιον ἥβας : ἤγουν τὸ σθένος αὐτοῦ ἄξιόν ἐστι νέῳ τινὶ εἶναι.

1 44c ἡ δὲ δύναμις ἀξία τῆς ἡλικίας αὐτοῦ. ἴσως γὰρ εὐῆλιξ ἐξωγραφήθη 〈ἐν〉 τῷ κισσυβίῳ εὐμήκης τε τὴν σύνθεσιν τῶν μελῶν. ἥβα ς: ἀνάλογον τῆς ἀκμῆς τὸ σθένος αὐτοῦ.

1 44d KEAT τυτθό ν: κυρίως τὸ ἐπιτίτθιον βρέφος παρὰ τὸν τιτθόν, ὃ σημαίνει τὸν μαζόν· ὅθεν καὶ τυτθὴν λέγουσιν ὀλίγην ἢ μικράν [καὶ τυτθήν].

1 45[a] K ἁλιτρύτοι ο: τοῦ ἐν τῇ θαλάσσῃ πονοῦντος καὶ τρυχομένου καὶ τειρομένου.

1 46a πυρναίαι ς· περκαζούσαις, ὡρίμοις. οἱ δὲ τὰς ἤδη ὥραν ἐχούσας τροφῆς· πύρνον γὰρ ἔνιοι τὴν τροφὴν λέγουσιν. ἢ πυρναίαις ταῖς τρωξίμοις· ἐπάγει γοῦν ἑξῆς (v. 49)· ‘φοιτᾷ σινομένα τὰν τρώξιμον‘. KGEAT ἀπὸ τοῦ πύρνος ἡ τροφή.

1 46b 〈ἢ〉 ἀπὸ τοῦ ὑπὸ τῶν ἀκτίνων πυροῦσθαι. ταῖς περκαζούσαις, παρόσον παρὰ τῶν ἀκτίνων τοῦ ἡλίου πυροῦνται.

1 46c GEAT πυρναίαι ς: ταῖς περκαζούσαις ἢ τρωξίμοις· πύρνος γὰρ ὁ σῖτος καὶ ἡ τροφή.

1 46d PT ἀλω ά: φυτεύσιμος γῆ.

1 46f ἀλωὴ σημαίνει τέσσαρα. κυρίως μὲν γὰρ ὁ ἀμπελόφυτος τόπος ὡς κατὰ πολὺ λῴων τοῦ ἁπλῶς πεδίου. λέγεται ἀλωὴ καὶ ὁ δενδροφόρος τόπος, ἐπεὶ δευτέρως καὶ αὐτὸς λῴων τῆς ἁπλῶς γῆς. ἀλλὰ καὶ ὁ λαχανηφόρος τόπος ὁμοίως καὶ αὐτὸς διὰ τὴν αὐτὴν αἰτίαν. ἀλωὴ δὲ καὶ ἡ ἅλως. κῶρος : ἀπὸ τοῦ 〈κόρη〉 κόρη ἡ τοῦ ὀφθαλμοῦ οἱονεὶ χόρη τις οὖσα ἀπὸ τοῦ δι’ αὐτῆς χεῖσθαι τὸ διορατικὸν πνεῦμα. [5]

1 47[a] κόρη δὲ ἡ παρθένος ἡ ὑγροφυὴς καὶ τρυφερὰ ἀπὸ τοῦ κορεῖν τὸ καλλωπίζειν, ὃ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ εἴρηται. ἢ ἡ καθαρὰν καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν· κορεῖν γὰρ τὸ καθαίρειν, ἀφ’ οὗ καὶ νεωκόρος. ἢ παρὰ τὸ κείρω ἡ κειρομένη ἔτι καὶ νηπιάζουσα. ἀφ’ ἧς καὶ τὸ κόρος καὶ κοῦρος, ὁ ἁπαλὸς καὶ τρυφερὸς παῖς. αἱμασιαῖσι : φραγμοῖς ἠκανθωμένοις· εἰς ἃς οἱ εἰσερχόμενοι αἱμάσσονται τοὺς ἰδίους πόδας. [5]

1 47c ἐ φ ’ αἱμασιαῖσι : ἐπὶ ταῖς φρακταῖς, παρόσον πλήρεις αἵματος γίνονται οἱ εἰσερχόμενοι ἐπ’ αὐταῖς διὰ τὸ ἀκανθώδεις αὐτὰς εἶναι. ἥμενος : καθεζόμενος.

1 48[a] ἀπὸ τοῦ ἕω τὸ καθέζομαι ἕημι, τὸ παθητικὸν ἕεμαι ἧμαι, ἡ μετοχὴ ἑέμενος ἥμενος. ὄρχως : ὄρχος ὀρχάτου διαφέρει.

1 48[b]

ὄρχος γάρ ἐστιν ὁ βόθρος, εἰς ὃν ἐντίθεται τὸ φυτὸν πρὸς μοσχείαν, παρὰ τὸ ὀρύσσω ὄρυχόν τινα ὄντα, ὄρχατον δὲ τὴν ἐπίστιχον φυτείαν παρὰ τὸ ἔρχεσθαι. καὶ Ἀριστοφάνης (fgm. 120 Kock Com. att. fgm. I 421) τὸ μεταξὺ τῶν φυτῶν μετόρχιον ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς, ὁ δὲ Ἡσίοδος (Scut. 294) ὄρχον λέγει τὴν ἐπίστιχον τῶν ἀμπέλων φυτείαν· ‘λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων‘, καὶ πάλιν (ib. 296/97)· ‘παρὰ δέ σφισιν ὄρχος χρύσεος ἦν‘. ἔστι δ’ ὅτε δὴ καὶ κῆπον δηλοῖ. Ἀπίων (cf. Λέξ. fgm. 89 Baumert Apionis quae ad Hom. pertinent fgm., Diss. phil. Regim. 1886, 36) δὲ ἐτυμολογεῖ παρὰ τὸ ὄρνυσθαι τὴν γῆν πρὸς φυτείαν. ἀ ν ’ ὄρχως : 〈.

1 48c ..〉 τοὺς διδύμους. ἢ τοὺς κλάδους τῆς ἀμπέλου. KGEAT φοιτᾷ : φοιτῶ σημαίνει τὸ ὁρμῶ.

1 49[a] ὡς παρὰ τὸ πόρος πορῶ καὶ πορεύομαι παραγωγόν, οὕτω καὶ παρὰ τὸ ὁδὸς γίνεται ὁδῶ, τροπῇ τοῦ δ εἰς τ ὁτῶ καὶ πλεονασμῷ τοῦ φ καὶ Κ ι φοιτῶ. τρώξιμον : παρὰ τὸ τρῶ τὸ σημαῖνον τὸ βλάπτω παραγωγὸν τρώγω.

1 49[b] σημαίνει δὲ τὸ κατεργάζεσθαι καὶ μὴ ἐᾶν ἅτινα τρώγει τις ὑγιᾶ. ἀφ’ οὗ καὶ τρῶγες, τὰ ἐν τοῖς ὀσπρίοις θηρία, καὶ τρῶκται· παρὰ τὸ τρώγω τρώξω γίνεται τρώξιμος καὶ τρώκτης. 〈 τρώξιμον : 〉 τὴν ὥριμον σταφυλήν.

1 49[d] 〈 τρώξιμον : 〉 πέπειρον. πάντα δόλον τεύχοισα : γράφεται κεύθοισ α , ἀντὶ τοῦ κρύπτουσα· πανοῦργον γὰρ τὸ ζῷον.

1 50b τὸ παίδιον : οὕτω Θεαίτητος, ὡς τὸ παίγνιον, φέρνιον· Ἀττικοὶ δὲ [οὕτω] παραπλήσιον τῷ κλειδίον λέγουσιν. πρινὴ ἀκράτιστον : πρινὴ ἀκρατισμοῦ ξηρὸν ποιήσει αὐτό· ἀκρατισμὸν δέ φησι τὸν ἀπὸ βρώσεων κόρον.

1 51b ἀκράτιστον : οἱ μέλλοντες πολεμεῖν πρωΐας ἔτι οὔσης ὀλίγον τινὰ ἤσθιον ἄρτον καὶ ἄκρατον οἶνον ἔπινον, ὡς θερμοὶ ὦσι καὶ μὴ δειλιῶσιν, ὃ καὶ ἀκρατισμὸν ἐκάλουν. ἐνταῦθα δὲ ἀκράτιστον ἀντὶ τοῦ ἄγευστον. ξηροῖσι : ἀπὸ τοῦ ξέω ξῶ ῥήματος, ἐκ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων· εἴ τι γὰρ ἔξυσται, ξερὸν γίνεται καὶ κατὰ τροπὴν τοῦ ε εἰς η ξηρόν.

1 51d καθιξεῖ : γράφεται καὶ καθίξ ῃ . βαρυτόνως λεκτέον· τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων ὁμοίως οἱ Δωριεῖς ἡμῖν προφέρονται. GEAT ἀνθερίκοισιν : ἀνθέρικος ὁ τῆς ἀσφοδέλου καρπὸς 〈ἢ καυλός.

1 52a καὶ ... μέν φησιν, ὅτι ἀσφόδελός ἐστι φυτόν,〉 ὃ[ς] τὰ μὲν φύλλα ἔχει ὡς πράσου ἀγρίου, μείζω δὲ καὶ πλατύτερα· ὁ δὲ καυλὸς ἀνθέρικος καλεῖται, ὅσον πηχυαῖος ὢν καὶ μείζων. τὸ αὐτὸ δὲ καὶ Θεόφραστός (Hist. plant. VII 13, 2) φησιν. ὁ δὲ Ἀπολλόδωρος ὑπὸ Δωριέων φησὶν οὕτω λέγεσθαι τὸν τῆς ἀσφοδέλου καρπόν. ὁ δὲ Νεοπτόλεμος (Meineke Anal. Alex. 359) ἀνθέρικον ᾠήθη τὸν ἀθέρα τοῦ στάχυος, γελοίως. καλάν : ἐπίθετον.

1 52[b] ἔστι ῥῆμα κάζω, ὃ δηλοῖ τὸ κοσμῶ, ὁ μέλλων κάσω, ἀφ’ οὗ ῥηματικὸν ὄνομα καλὸς καὶ τὸ θηλυκὸν ἡ καλή. ἢ παρὰ τὸ καλῶ ῥῆμα γίνεται καλὸς διὰ τὸ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον, ὡς τὸ ἀγαθόν, ἐφ’ ᾧ ἄγαν θέομεν. μέλεται δέ οἱ : μέλει δὲ αὐτῷ οὔτε πήρας οὔτε 〈.

1 53a ..〉 . 〈 μέλεται : 〉 διὰ φροντίδος ὑπάρχει.

1 53c πήρα παρὰ τὸ φέρω φήρα· οἱ δέ, μεθ’ ἧς πανταχοῦ περῶμεν. καλεῖται δὲ καὶ κίβισις καὶ οὐλάς.

1 55a παντᾷ δ ’ ἀμφὶ δέπας : πανταχοῦ δὲ περὶ τὸ ποτήριον περιπέπταται καὶ περικέχυται ὑγρός τις καὶ μαλακὸς ἄνανθος, ὅπερ ἐστὶν εἶδος φυτοῦ ἀκανθῶδες, χαμαίζηλον, εἰς μῆκος ἐξανθοῦν λίαν. πέπταται : ἐκ τοῦ ἵπτημι ἔπτακα ἔπταμαι ἔπτασαι ἔπταται καὶ πλεονασμῷ τοῦ π πέπταται Αἰολικῶς.

1 55[b] οἱ γὰρ Αἰολεῖς εἰώθασι προστιθέναι σύμφωνον, ὥσπερ τὸ ἐπτέρυγμαι 〈πεπτέρυγμαι〉 , οἷον (Sapph. fgm. 38 Bergk Poet. lyr. gr. III 4 102 )· ‘ὡς δὲ παῖς πέδα μάτερα πεπτέρυγμαι.‘

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡρωδιανὸς ἐν τῷ περὶ πάθους (cf. fgm. 56 Lentz, II 187, 14). ὑγρὸς ἄκανθος ὁ εὐκαμπὴς καὲ εὔτονος.

1 55c KGEAT 〈.

1 55d ..〉 λεπτότερον καὶ εὐτονώτερον. GEAT ὑγρὸς ἄκανθος : ὁ ἄκανθος εἶδός ἐστι φυτοῦ χαμαιζήλου, ὑγρὸς δὲ ὁ εὐκαμπὴς ἢ ὁ νεόφυτος.

1 55[f] ὑγρός : γίνεται τὸ ὑγρὸν ἐκ τοῦ ὕω τὸ βρέχω· ὕσω ὑρὸς καὶ ὑγρὸς πλεονασμῷ τοῦ γ . ὑγρὸς οὖν ἄκανθος ὁ δίυγρος, ὁ διερός, ὁ ζῶν. 〈ἢ ὑδρὸσ〉 οἷον ἔνυδρός τις εἶναι δοκῶν. K Αἰολικόν : ἀπατητικόν[, ποικίλον, ἐκπληκτικὸν καὶ ὃ ἄν τις διὰ κάλλος θαυμάσῃ]· ταῦτα γὰρ δύναται τὸ Αἰολίζειν.

1 56a KGEAT οἱ γὰρ Αἰολεῖς ἐπὶ ἀπάτῃ διαβάλλονται, 〈ὡς ἐν τῷ〉 ‘Λοκροὶ τὰς συνθήκασ‘· ταὐτὸν δέ εἰσιν οἱ Λοκροὶ τοῖς Αἰολεῦσι.

1 56d ἢ 〈 αἰπολικό ν , 〉 οἷον αἰπόλος 〈ἂν〉 KGEAT θαυμάσαι. αἰολικόν : αἰόλον τι καὶ ποικίλον θέαμα.

1 56f γράφεται χωρὶς τοῦ π Αἰολικό ν , τὸ ἀπατητικόν· Αἰολίζειν γὰρ τὸ ἀπατᾶν. Σοφοκλῆς (fgm. 826 Nauck Trag. gr. fgm. 2 323 )· ‘μηδ’ Αἰόλιζε ταῦτα‘. Αἰολικὸν τὸ Αἰτωλικόν.

1 56g Αἰολεῖς γὰρ οἱ Αἰτωλοί· ἐξ Αἰτωλίας δέ φησι τὸ ποτήριον κεκομίσθαι. γράφεται δὲ Αἰτωλικό ν .

1 56[i] 〈 αἰπολικόν : 〉 διὰ τῶν αἰπόλων δηλοῖ καὶ τοὺς ποιμένας καὶ τοὺς βουκόλους. θάημα : θέαμα.

1 56l ἀτύξαι : καταπλήξαι σου τὴν ψυχήν, καὶ δι’ ὑπερβολὴν κάλλους τεράστιον ἂν νομισθείη. τέρας κέ τυ θυμὸν ἀτύξαι : ἀντὶ τοῦ ἐκπλῆξαι δυνάμενον.

1 56m καὶ Ὅμηρος (Z 468)· ‘πατρὸς ὄψιν ἀτυχθείσ‘. τοῦτο τὸ θέαμα τεράστιον [τι] ὂν τὴν σὴν ἐκπλήξει διάνοιαν. τοῦτο δὲ ἔφη δι’ ὑπερβολὴν τοῦ κάλλους.

1 57[a] πορθμεῖ : ἀπὸ τοῦ πορθμός. ὡς ἀπὸ τοῦ κείρω κορμός, οὕτως καὶ ἀπὸ τοῦ πείρω τοῦ σημαίνοντος τὸ περῶ γίνεται πορμὸς καὶ πλεονασμῷ τοῦ θ πορθμός· ἔστι δὲ θάλασσα μεταξὺ δύο ἠπείρων, ἰσθμὸς δὲ τοὐναντίον ἡ στενὴ ἤπειρος μεταξὺ θαλασσῶν δύο. ἀπὸ τοῦ πορθμὸς οὖν γίνεται πορθμεὺς ὁ περάτης. πορθμεῖ Καλυδωνίῳ : ἢ ὄνομα κύριον ἢ τῷ ἀπὸ Καλυδῶνος εἰς Πελοπόννησον αὐτὸ διακομίσαντι· ἀντίκειται γὰρ ἀλλήλων τὰ χωρία.

1 57b KGEAT τινὲς δὲ γράφουσι Καλυδνί ῳ , ἀγνοοῦντες ὡς αἱ Καλυδναὶ ἐγγὺς τῆς Κῶ εἰσιν.

1 57c Ὅμηρος (B 677)· ‘καὶ Κῶν Εὐρυπύλοιο πόλιν νήσους τε Καλυδνάς.‘ K πορθμεῖ : ἴσως διαπορθμεύοντι ἐξ Αἰτωλίας εἰς Πελοπόννησον.

1 58a τυρόεντα : τυρός, τυρόεις παραγωγόν, τυρόεντα. τὸ τυ μακρόν, ροεντα με συνίζησις. τὰ εἰς ρος γὰρ δισύλλαβα ὀξύτονα τῷ υ παραληγόμενα ἐκτείνουσιν αὐτό, οἷον τυρός, πυρὸς ὁ σῖτος· τὸ πῦρ δὲ τοῦ πυρὸς βραχὺ καὶ τὰ ὅμοια. KGEAT τυρόεντα : ἐκ τοῦ τυρὸς τυρόεις.

1 58[b] γίνεται δὲ παρὰ τὸ τηρῶ· γάλα γὰρ τηρούμενον ὁ τυρός. τὸ δὲ τηρῶ παρὰ τὸ οὐρῶ τὸ φυλάσσω, πλεονασμῷ τοῦ τ τουρῶ καὶ τροπῇ τῆς ου εἰς η τηρῶ. τὸ δὲ τυρὸς ἐκβολῇ τοῦ ο γέγονε. K μέγαν λευκοῖο γάλακτος : λείπει τὸ κύκλον.

1 58[c] E g P 〈 τυρόεντα : 〉 τυρόν· Ἰωνικὸν ἀντὶ πρωτοτύπου τὸ E g παραγωγόν.

1 58e 〈 λευκοῖο γάλακτος : 〉 λευκὸν μὲν γὰρ κατὰ τὴν φύσιν τοῦ πράγματος. χεῖλος : παρὰ τὸ χέω χέλος 〈καὶ χεῖλοσ〉 · εἰς αὐτὸ γὰρ χέονται αἱ τροφαί.

1 60[a] ἄχραντον : ἀθιγές, οὗ χεὶρ οὐχ ἥψατο. ἤ· ὃ οὐδέποτε εἰς χρείαν ἦλθεν. πρόφρων : προθύμως, παρὰ τὴν προ καὶ τὸ φρῶ.

1 60c ἀρεσαίμην : ἀντὶ τοῦ· εὐάρεστος δόξαιμι. ἐφίμερον : τὸν γλυκύν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 61a λέγει δὲ τὴν ἐπὶ Δάφνιδι ᾠδήν. ὕμνος : 〈κατὰ συγκοπήν,〉 ὑπόμονός τις ὤν, καθὸ εἰς ὑπομονὴν καὶ μνήμην ἄγει τὰς τῶν ἐπαινουμένων πράξεις.

1 61[b] 〈κεχώρισται δὲ τῶν ἐγκωμίων καὶ τῶν προσοδίων καὶ τῶν παιάνων〉 οὐχ ὡς κἀκείνων μὴ ὄντων ὕμνων, ἀλλ' ὅτι τὰ ἄλλα προσόδια 〈, καθὰ κέκληται,〉 προσιόντες ναοῖς ἢ βωμοῖς πρὸς αὐλὸν ᾖδον, τὸν δὲ ὕμνον πρὸς κιθάραν. οὕτω Δίδυμος (cf. fgm. 3 Schmidt, p. 389). κερτομέω : ἐρεθίζω, χλευάζω.

1 62/63[a] καὶ 'κερτομίοις ἐπέεσσιν' ἐρεθιστικοῖς, παροξυντικοῖς, χλευαστικοῖς, ἀπατηλοῖς· κερτόμιον γὰρ λόγιον τὸ παραλογιστικὸν παρὰ τὸ τέμνειν τὸ κέαρ, ὅ ἐστι τὴν ψυχήν, τῶν ἀκουόντων. καὶ κέρτομος ὁ παραλογιστής. 〈 τὰν γὰρ ἀοιδάν : 〉 παροιμία ἐπὶ τῶν γινωσκόντων καὶ μὴ μεταδιδόντων.

1 62/63[b] E g τὸν ἐκλελάθοντα : ἐκλανθάνουσι γὰρ πάντων οἱ ἐν αὐτῷ, ἤγουν τὸ τῆς Λήθης ὕδωρ πίνοντες.

1 62/63c KGEAT τὸν ἐκλελάθοντα : τὸν λήθης αἴτιον.

1 62/63d PT 〈 τὸν ἐκλελάθοντα : 〉 τὸν λήθην ἐμποιοῦντα πάντων.

1 62/63e E g ἄρχετε βουκολικᾶς : ἄρξασθαί με ποιήσατε τῆς βουκολικῆς ᾠδῆς ἀντὶ τοῦ ἀρχηγοὶ γίνεσθε· ἐπικαλεῖται γὰρ αὐτὰς μέλλων ἀείδειν.

1 64a KGEAPT 1.2 ἄρχετε : τοῦτο λέγεται ἐπῳδὸς καὶ πρόᾳσμα καὶ ἐπιμελῴδημα.

1 64c 〈...〉 Μνασέας (fgm. 7 Mueller Fgm. hist. gr. III 150) δὲ ἐν τῷ περὶ Εὐρώπης Πανός φησι Βουκολίωνα υἱόν, ἀφ' οὗ καὶ τὸ βουκολεῖν. GEAT Θύρσις : ὁ ποιμὴν Θύρσις ἐπαινεῖ ἑαυτόν.

1 65/66a ἡ δὲ Αἴτνη Σικελίας ὄρος ἀπὸ Αἴτνης τῆς Οὐρανοῦ καὶ Γῆς, ὥς φησιν Ἄλκιμος ἐν τῷ περὶ Σικελίας (fgm. 2 Mueller Fgm. hist. gr. IV 296). Σιμωνίδης (fgm. 200 b Bergk Poet. lyr. gr. III 4 524) δὲ Αἴτνην φησὶ κρῖναι Ἥφαιστον καὶ Δήμητραν περὶ τῆς χώρας ἐρίσαντας. Δημήτριος δὲ ὁ Καλλατιανὸς (fgm. 4 Mueller Fgm. hist. gr. IV 381) τοῦ Βριάρεω, ἑνὸς τῶν Κυκλώπων, παῖδας γενέσθαι Σικανὸν καὶ Αἴτνην, ἀφ' ἧς τὸ ὄνομα. 〈.

1 65/66b ..〉 Νυμφόδωρος δέ φησιν ἐν τῷ περὶ Σικελίας θαυμαζομένων (fgm. 2 Mueller Fgm. hist. gr. II 376), ὅτι τοῦ Δάφνιδος μεταλλάξαντος ἐκκομιζομένῳ τοὺς κύνας συνακολουθεῖν καὶ ἐπὶ τοῦ τάφου μεταλλάξαι καὶ εἶναι αὐτῶν ἓν μνῆμα, ἐν ᾧ γέγραπται· 'Σᾶμος Πόδαργος Λάμπος Ἄλκιμος Θόας.

1 65/66c ' Θύρσις ὅ δ ' ὡξ Αἴτνας : ὡς Σικελιώτου αὐτοῦ ὄντος καὶ κατὰ τὴν Αἴτνην νέμοντος.

1 65/66d μέλλει δὲ ᾄδειν, ὃν τρόπον ὁ Δάφνις οὐ δυνάμενος φέρειν τὸν τῆς Ξενέας ἔρωτα—ἔστι δὲ ὄνομα Νύμφης—ἐξῆλθεν ἐκ τοῦ ζῆν. ἀντὶ τοῦ· αἱ Νύμφαι τότε οὐκ ἦσαν περὶ Σικελίαν, ὅτε ὁ Δάφνις ἀπώλετο.

1 65/66e ἴσως δὲ διὰ τὸ Νύμφης ἐρᾶν ὑπερηφανευούσης αὐτὸν αἰνίσσεται ὡς μηδὲ τῶν λοιπῶν αὐτόθι οὐσῶν. πῆ πο κ ' ἄ ρ ' ἦσ θ ' ὅκα Δάφνις ἐτάκετο : Δάφνις Σικελιώτης τυγχάνων καὶ ἐν Σικελίᾳ ἦν, ὅτε τὰ λοίσθαι ἔπνεεν.

1 65/66f ὅτι γοῦν Νύμφης ἤρα ὁ Δάφνις, ἡ δὲ Νύμφη ἀπεστρέφετο αὐτὸν διὰ τὴν πρὸς ἑτέρας γυναῖκας ὁμιλίαν, αἰνίσσεται, ὅτι PT οὐδὲ αἱ λοιπαὶ ἐν Σικελίᾳ ἦσαν, ὅτε ὁ Δάφνις ἔθνησκε. κατὰ Πηνειῶ : Πηνειὸς ποταμὸς Θεσσαλίας.

1 67a τὰ δὲ τέμπη γενικῶς μὲν τὰ ἄλση· νῦν δὲ τὸ μεταξὺ τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου χωρίον, ὅ ἐστι περικαλλὲς καὶ ὥσπερ ὑπὸ θείας γνώμης πρὸς τὴν διόρυξιν διῃρημένον, δι' ἧς ὁ ΠηKGEAPT νειὸς πρὸς τὴν θάλασσαν ῥεῖ. λέγεται δὲ τοῦτο τὸ χωρίον τέμπεα Θετταλικά.

1 67[b] PT κατὰ Πίνδω : Πίνδος ὄρος Ἀρκαδίας ἢ ποταμὸς ἢ ὄρος τῆς Περραιβίας ἐγγὺς θαλάσσης.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 67c KGEAPT 1.2 οὐ γὰρ δὴ ποταμοῖο : οὐ γὰρ τότε τὸ μέγα ῥεῦμα εἴχετε ἀντὶ τοῦ οὐκ ᾠκεῖτε, ὅ ἐστιν οὐκ ἦτε ἐκεῖσε.

1 68a KGEAT μέγαν ῥόον εἶχε τ ' Ἀνάπω : τὸ εἴχετε ἀντὶ τοῦ PT κατῳκεῖτε.

1 68c ὁ δὲ Ἄναπος ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας. Ἄναπος δὲ εἴρηται ὁ ἄνευ πόσεως ὤν, οἷον ἀβληχρὸν ὕδωρ ἔχων. Ἄναπος ποταμὸς περὶ Σικελίαν παρὰ τὸ τοῖς ποσὶ διαβατὸς εἶναι.

1 69a Ἄκιδος ἱερὸν ὕδωρ : Ἆκις ποταμὸς Σικελίας. Ἆκις παρὰ τὸ ἀκίδι ἐοικέναι τὰ ῥεύματα.

1 72a δρυμὸς τόπος λέγεται ὁ πολλοὺς ἔχων δρῦς. τινὲς αἰτιῶνται τὸν Θεόκριτον καί φασιν ἐν Σικελίᾳ λέοντα μὴ εἶναι.

1 72b ἀλλὰ προστιθεμένη ἡ ἂν συλλαβὴ λύει τὴν αἰτίαν, ἵνα ᾖ· τῆνον ἂν ἔκλαυσεν, εἰ ἐν Σικελίᾳ λέων ἦν. πολλαί οἱ πὰρ ποσσί : ὅρα τὴν ἡδονήν.

1 74* ἀντῳδὴ δὲ τὸ σχῆμα, ἥτις γίνεται οὕτως, ὅταν τις λαλῇ ᾠδὴν ἄλλην καὶ ἄλλην ἀποκρίνεται. δαμάλαι : αἱ ἤδη δαμασθῆναι δυνάμεναι· πόρτιες αἱ μικραὶ καὶ μήπω εἰς ζυγὸν ἐλθοῦσαι.

1 75[b] 〈 δαμάλαι : 〉 μεταπλασμὸς ἀντὶ τοῦ δαμάλεις. ἦν θ ' Ἑρμῆς : ἦλθεν ὁ Ἑρμῆς πρώτιστος ἢ ὡς νόμιος ἢ ὡς φίλος Δάφνιδος ἢ ὡς ἐραστής.

1 77b τὸ δὲ λ εἰς ν τρέπουσιν οἱ Δωριεῖς, ἀλλ' οὐ διὰ παντός, ἀλλ' ὅτε τὸ θ ἢ τὸ τ ἐπιφέρεται, οἷον βέλτιστος βέντιστος, φίλτατος φίντατος, ἦλθεν ἦνθεν. ἦν θ ' ὁ Πρίηπος : οἰκείως· ἀγροικικὸς γὰρ ἦν ὁ Πρίηπος ὡς καὶ Δάφνις καὶ—ἴσως διὰ τὸ κάλλος—υἱὸς Ἀφροδίτης.

1 81a KGEAT 〈 ἦν θ ' ὁ Πρίηπος : 〉 ἢ ὡς ἐραστὴς τοῦ Δάφνιδος ἢ ὡς υἱὸς Ἀφροδίτης.

1 81b GEAT κἤφα : καὶ ἔφη· κατὰ συναίρεσιν καὶ συγκοπήν.

1 82-85a KGEA κἤφα : καὶ ἔφη· ἔστι δὲ τὸ πάθος ἔκθλιψις 〈καὶ〉 κρᾶσις.

1 82-85[b] T ἡ δέ τι κώρα : τὸ ἑξῆς· αὕτη δὲ ἡ κόρη ἀνὰ πᾶσαν τὴν κρήνην ζητοῦσά σε—διὰ μέσου γὰρ ὁ στίχος τοῦ ἄρχετ ε .

1 82-85c KGEAT φορήται : μανιωδῶς φέρεται.

1 82-85d καθόλου τὰ εἰς ται ῥήματα, ὅταν τῷ η παραλήγηται περισπωμένως, παροξυτονοῦσι Δωριεῖς· ὅταν δὲ βαρυτόνως, ὁμοίως ἡμῖν ἐκφέρουσιν. ζάτεισα : Αἰολικὸν τὸ ζάτεισα, διὸ καὶ βαρύνεται.

1 82-85e συναπτέον δὲ τοῦτο τοῖς ἐπάνω· πάντῃ δὲ πλανᾶται ζητοῦσα αὐτόν. εἰρωνευόμενος δὲ λέγει πρὸς αὐτόν· αὐτὸς γὰρ μᾶλλον ἐζήτει. διὰ τοῦτο καὶ δύσερω ς . τινὲς δέ φασιν, ὡς οὐ διὰ τὴν Νύμφην, ἀλλὰ διὰ τὴν τοῦ βασιλέως θυγατέρα, δι' ἣν καὶ ἐπηρώθη. ζητοῖσα : Αἰολικὸν ἀντὶ τοῦ ζητοῦσα. [5]

1 82-85f εἰρωνεύεται δέ· ζητεῖ γὰρ αὐτὸς μᾶλλον, οὐ ζητεῖται ὑπὸ τῆς Νύμφης. ἢ καὶ παρηγορητικὸς ὁ λόγος. τὸ δὲ ζητοῖσα οὐκ ἔστι Δωρικόν· εἰ γὰρ ἦν, εἴρητο ἂν ζατοῦσα.

1 82-85h ζάτοισα βαρέως· ἔστι γὰρ Αἰολικόν, διὸ σημαίνει τὸ ζητοῦσα. εἰ δ' ἦν Δωρικόν, εἴρητο ἂν ζατοῖσα. ζατοῖ ς ' ἃ : γράφεται καὶ χωρὶς κουφίσματος ζάτοισα ἀντὶ τοῦ ζητοῦσα Αἰολικῶς.

1 82-85i εἰ δ' ἦν Δωρικῶς, εἴρητο ἂν ζατεῦσα. δύσερώς τις ἄγαν : δύσκολον ἔρωτα ἔχεις καὶ παντελῶς ἀπροσμηχάνητον.

1 82-85k ζητοῦσα γάρ σε ἡ Νύμφη περιέρχεται. παρηγορῆσαι θέλων τοῦτό φησι πρὸς αὐτόν. βούτας μὲν ἐλέγευ : βουκόλος ὤν, φησίν, οὐ κατὰ βουκόλους ἐρᾷς.

1 86a οἱ μὲν γὰρ βουκόλοι πρὸς τὴν τῶν ἀφροδισίων μῖξιν ἐγκρατεῖς, τοὐναντίον δὲ λαγνότατοι οἱ αἰπόλοι· καὶ ἡ αἰτία, ὅτι κατωφερέστεραι οὖσαι αἱ αἶγες δελεάζουσι τοὺς αἰπόλους. βούτας μὲν ἐλέγευ : παροιμία τοῦτο ἐπὶ τῶν ἡσύχων μὲν πρῶτον καὶ ἡμέρων, ἔπειτα δὲ ἀγρίων. [5]

1 86b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ γὰρ βόες ἥμεροί εἰσιν· ἀπὸ γοῦν τῶν βοσκομένων καὶ οἱ βόσκοντες αὐτοὺς τοιοῦτοι λέγονται. αἱ δὲ αἶγες ἄγριαι, παρόσον καὶ εἰς τὰ EAT ὑψηλὰ τῶν ὀρῶν καὶ εἰς κρημνώδεις τόπους νέμονται· ἀπὸ τούτων δὲ καὶ οἱ αἰπόλοι τοιοῦτοι λέγονται. ᾡπόλος : ᾡπόλος ἀντὶ τοῦ ὁ αἰπόλος. [5]

1 87 γίνεται κατὰ τροπὴν τοῦ ο καὶ α εἰς ω μέγα ἢ μᾶλλον ἐν συναιρέσει τοῦ ο α εἰς ω μέγα ὡπόλος· τὸ δὲ ι προσγεγραμμένον. [ἢ αἰπόλος ὠπόλος.] K τὼς δ ’ οὐδέν : οὕτως εἰπόντων οὐδέν τι ἀπεκρίνατο ὁ Δάφνις, ἀλλ’ ἐσιώπα.

1 92/93b τὼς δ ’ οὐδὲν ποτελέξα θ ’ ὁ βωκόλος : τούτους, οὕστινας ἄνωθεν εἴπομεν, ἤτοι τοὺς βούτας τοὺς ποιμένας τοὺς αἰπόλους τὸν Πρίαπον καὶ τοὺς λοιπούς, οὐδέν τι προσεφθέγξατο ὁ βουκόλος, ἤτοι ὁ Δάφνις. PT πικρὸν ἔρωτα : ἀλλὰ τὸν αὐτοῦ ἔρωτα ἐπέραινε καὶ KGEAPT διήνυε μέχρι καὶ τῆς μοίρας.

1 92/93d ἄνυε μοίρας : διχῶς τὸ μοίρας. εἰ μὲν γὰρ ἐκτεινόμενον, σημαίνει γενικήν, εἰ δὲ συστελλόμενον, αἰτιατικὴν 〈τῶν〉 πληθυντικῶν Δωρικῶς· ἐκεῖνοι γὰρ τὰς παρ’ ἡμῖν ἐκφερομένας εὐθείας τῶν πληθυντικῶν διὰ τῆς αι διφθόγγου διὰ τοῦ ες ἐκφέρουσιν.

1 94a Μοῖσαι πάλιν : τὸ πάλιν ἐξ ὑποστροφῆς ἀρχὴν ᾠδῆς ποιούμενός φησιν, αἱ δὲ παράγραφοι διαστέλλουσι τὰς ᾠδάς. τὸ δὲ ἄρχετε καὶ λήγετε ἐπῳδοῦ τάξιν ἐπέχει.

1 95-98a ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα : τὸ ἡδεῖα ἡδέα ποιητικῶς, 〈ἵν’〉 ᾖ οὕτως· ἡδέα καὶ ἡ Κύπρις γελῶσα. τινὲς ἡ δεῖα, ἡ δέους ποιητική. ἐὰν δὲ γράφεται διὰ τοῦ ι , ἡ Διὸς θυγάτηρ. 〈 λάθρη μὲν γελάοισα 〉 : ἐναντίως εἶπε.

1 95-98b θέλει γὰρ εἰπεῖν· φανερῶς μὲν γελῶσα, λανθάνει δὲ βαρυνομένη ἐπὶ τῷ Δάφνιδι. ἦνθέ γε μὰν ἁδεῖα : ἦλθεν ἡ ἡδυτάτη καί φησι· βοῦτα, ὑπ’ ἀργαλέου ἐλυγίχθης Ἔρωτος καὶ ἐκάμφθης; οἷον Εὔπολις (fgm.

1 95-98c 339 Kock Com. att. fgm. I 348 )· ‘λυγίζεται καὶ συστρέφει τὸν αὐχένα‘. 〈 Ἔρωτος ὑ π ’ ἀργαλέω ἐλυγίχθης : 〉 ταῦτα ἐπὶ μυκτηρισμῷ λέγει ἡ Ἀφροδίτη.

1 95-98d KG 1.2 EAT ἐλυγίχθης : ἐκάμφθης, κατεδέθης.

1 95-98e ἐπὶ μυκτηρισμῷ δὲ ταῦτά φησι. PT λυγιξεῖν : καταδήσειν, τουτέστι περιέσεσθαι τοῦ Ἔρωτος ἐκαυχῶ· ἴσως γὰρ ὁ Δάφνις μεγαλορρημονήσας εἰς τὴν θεὸν ταύτην ὑπέσχε τὴν ποινήν.

1 95-98g λυγιξεῖν : τὸ βεργίοις δήσειν, ἤτοι δήσειν λύγοις [παρὰ τὸ δεσμεύειν]. καὶ Ὅμηρος (Λ 105)· ‘δίδη μόσχοισι λύγοισιν‘. ἢ κλάσειν· ἁπαλὸς γὰρ ὁ λύγος. λέγουσι δὲ καὶ τὸ ἀμαυρώσειν δηλοῦν· λυγαῖα γὰρ τὰ σκοτεινά.

1 95-98i Ἀμερίας δέ φησιν ἀγνοῶν· ‘λύγος ῥάβδος.‘ ἴσως οὖν μαστιγώσειν. GEAT λυγιξεῖν : κάμψειν, δεσμεύσειν.

1 95-98k λυγίζω λυγίξω καὶ Δωρικῶς λυγιξῶ ἀπὸ τοῦ λύγος τὸ βεργίον καὶ ὁ δεσμός. ἴσως γὰρ ὁ Δάφνις περιέσεσθαι τοῦ Ἔρωτος μεγαλορρημονήσας PT ταύτην ἔπαθε τὴν ποινήν. 〈 ἐλυγίχθης : 〉 ἐδεσμεύθης· μεταφορικὴ ἡ λέξις ἀπὸ τοῦ λύγου.

1 102a ἤδη γὰρ φράσδει πάν θ ’ ἅλιος : ἤδη γὰρ πάντα φράσδει, ἤγουν δῆλα πάντα ποιεῖ ὁ ἥλιος. ἄμμι δεδύκει : ἡμῖν δέδυκεν.

1 102c ἄμμιν : ἡμῖν ἦν καὶ τροπῇ τοῦ η εἰς α Δωρικῶς καὶ προσθέσει τοῦ μ Αἰολικῶς καὶ ἐν ὑπερβιβασμῷ τοῦ τόνου ἄμμιν. οὗ λέγεται τὰν Κύπριν : τὸ οὗ δασύνεται· ἔστι γὰρ ἀντὶ τοῦ ὅπου.

1 105/106a λείπει δὲ τὸ καταισχῦναι, ἵν’ ᾖ τὸ ὅλον· ὅπου ὁ βουκόλος τὴν Κύπριν καταισχῦναι λέγεται. οὗ λέγεται : λείπει τὸ αἰσχῦναι τὴν Ἀφροδίτην ὁ Ἀγχίσης.

1 105/106b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

P ἄλλοι δ’ οὐ προσυπακούουσι τὸ αἰσχῦναι.

1 105/106c KGEAT ὁ βωκόλος : βουκόλος ὁ Ἀγχίσης ὁ Αἰνείου πατήρ, ὃς κατὰ τὴν Ἴδην ἐμίγη Ἀφροδίτῃ καὶ Αἰνείαν ἐγέννησεν.

1 105/106d PT ἕρπε πο τ ’ Ἴδαν : ἀντὶ τοῦ ἄπελθε πρὸς τὴν Ἴδην.

1 105/106e ὡς ἑξῆς ἐπιφέρει· ἕρπε πρὸς τὸν βουκόλον Ἀγχίσην. καὶ Ὅμηρος (E 313)· ‘ἥ μιν ὑπ’ Ἀγχίσῃ τέκε βουκολέοντι.‘ KGEAT Ἴδη ὄρος Τροίας.

1 105/106f δύνανται δὲ καὶ πάντα τὰ ὄρη τῇ Ἴδης προσηγορίᾳ καλεῖσθαι ἀπὸ τοῦ ἴδη ἡ βοτάνη ἢ ἀπὸ τοῦ ἰδεῖν καὶ θεάσασθαι· ἀφ’ ὑψηλοῦ γάρ τις ἱστάμενος δύναται πόρρω ἰδεῖν. καλεῖται δὲ Ἴδη καὶ ὄρος Κρήτης. EAPT τηνεὶ δρύες · δρύες, ὥστε σκέπειν τῷ Ἀγχίσῃ συνερχομένην αὐτήν· εἰρωνευόμενος δὲ λέγει.

1 105/106g τηνεὶ ἀντὶ τοῦ ἐκεῖ. ὧδε κύπειρος : ἐνθάδε ταπεινὴ βοτάνη καὶ ἀναπεπταμένος ὁ ἀήρ, καὶ οὐ δυνήσῃ λαθεῖν συνουσιάζουσα.

1 105/106i τηνεὶ δρύες : ὥστε σκέπειν σε συνερχομένην τῷ Ἀγχίσῃ. ἐνταῦθα δὲ ταπεινὴ βοτάνη καὶ μὴ δυναμένη σκέπειν σε. PT ὧδε κύπειρος : κύπειρος χαμαίζηλος πόα.

1 105/106k τὸ δὲ ὧδε ἀντὶ τοῦ ἐκεῖ. κύπειρόν τινες τὸ παρ’ ἡμῖν βούτομόν φασι. ὧδε καλὸν βομβεῦντι : κατηγορούσας τῆς ἀκρασίας εὑρήσεις τὰς μελίσσας, εἰ πρὸς ἡμᾶς ἥκοις, διὰ τοῦ βόμβου τοὺς ὁδοιπόρους ἐπαγομένας.

1 107 σμήνη δὲ τὰ τῶν μελισσῶν ἀγγεῖα. Ἡσίοδος (Theog. 594): ‘ὡς δ’ ὅταν ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι.‘ ὡραῖος χὤδωνις : Κινύρου τοῦ Ἀπόλλωνος καὶ Σμύρνης θυγατρός, ἥτις κατὰ μῆνιν Ἀφροδίτης ἠράσθη τοῦ πατρός, ὅτι λύσασα τὰς τρίχας οὐδὲ Ἀφροδίτην ἔχειν ἔφη τοιαύτας. [5]

1 109a καὶ ἐλάνθανε τὸν πατέρα στολιζομένη καὶ συναναμιγνυμένη ὡς θεράπαινα. ὕστερον δὲ ἐγκυμονήσασα καὶ τεκοῦσα τὸν Ἄδωνιν ἐφωράθη καὶ αἰσχυνομένη ηὔξατο μεταβαλεῖν εἰς ὁμώνυμον φυτόν. ὡραῖος δὲ ἀντὶ τοῦ τρυφερός, ὅθεν καὶ τὸ θρύπτεσθαι ὡραΐζεσθαί φησι Μένανδρος (fgm. [5]

1 109b 855 Kock Com. att. fgm. III 228 )· ‘ὡς ὡραΐζεθ’ ἡ τύχη πρὸς τοὺς βίους.‘ ἢ ἀκμάζων. Ἡσίοδος (Op. 695)· ‘ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι.‘ καὶ πτώκας : τὰς αἰτιατικὰς οἱ Δωριεῖς τῶν εἰς ες ληγουσῶν εὐθειῶν τῶν πληθυντικῶν ὁμοίως ταῖς εὐθείαις παροξύνουσι καὶ μακρὸν ἔχουσι τὸ α , θώας Τρώας· ὅτι τὰς παρ’ ἡμῖν 〈προφερομένας διὰ τοῦ ες 〉 εὐθείας τῶν πληθυντικῶν ἐκεῖνοι διὰ τῆς αι προφέρουσιν. [5]

1 110c οὕτως ἀξιοῦσι Θεαίτητος καὶ Μουνάτιος καὶ Πτολεμαῖος Ἀριστονίκου. ὅπως στάσῃ : τινὲς περισπῶσιν, ἀλλ’ ἁμαρτάνουσι.

1 112 τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων ὁμοίως ἡμῖν προφέρουσιν οἱ Δωριεῖς, ὥς φησι Λεπτίνης. KGEAT 〈 ἀλλὰ μάχευ μοι : 〉 ἀλλὰ εἰ θέλεις σύ, ὦ Διομήδη, μάχου μοι.

1 113* ἢ ὁ Δάφνις πρὸς τὴν Ἀφροδίτην φησίν. E g φωλάδες ἄρκτοι : οὐ μάτην οὕτω καλεῖ, ἀλλ’ ὅτι, ὥς φησι καὶ Θεόφραστος καὶ Σώστρατος ἐν α′ 〈λέ〉 γει περὶ ἄρκτων, πολὺν [χρόνον] αἱ ἄρκτοι φωλεύουσι χρόνον· KGEAT ἢ ὅτι 〈μόναι〉 τῶν ἄλλων θηρίων αἱ ἄρκτοι τίκτουσαι φωλεοῖς ἐπικάθηνται.

1 115[c] φωλάδες : αἱ κατάστικτοι. PT Ἀρέθοισα : κρήνη ἐν Συρακούσαις.

1 117a φασὶ διὰ πελάγους Ἀλφειὸν ἥκειν 〈...〉 , ὥς φησιν Ἴβυκος (fgm. 23 Bergk Poet. lyr. gr. III 4 244) παριστορῶν περὶ τῆς Ὀλυμπιακῆς φιάλης. KGEAT Ἀρέθοισα : ὅτι Σικελικὴ κρήνη, πρόδηλον· δοκεῖ δὲ ὑπ’ Ἀλφειοῦ πληροῦσθαι.

1 117b

ἔστι δὲ καὶ ἐν Εὐβοίᾳ καὶ ἄλλη ἐν Σάμῳ 〈καὶ ἐν Ἰθάκῃ〉 · 'πὰρ κόρακος πέτρῃ καὶ ἐπὶ κρήνῃ Ἀρεθούσῃ' (ν 408).

1 117c χαριέντως δὲ καὶ Ἐπαφρόδιτός (fgm. 1 Luenzner Diss. phil. Bonn. 1866, 21) φησιν ἐν τῷ περὶ στοιχείων, ὅτι ἀρεθούσας καλοῦσι πάσας κρήνας. ἀγνοήσας δὲ Κράτης (Wachsmuth De Cratete Mallota p.

1 117d 53) μεταγράφει· 'ἐπὶ κρήνης μελανύδρου' (cf. ν 409). χαῖ ρ ' Ἀρέθοισα : πηγὴ ἐν Συρακούσαις τῆς Σικελίας, εἰς ἣν εἰσρέει ὁ ἐξ Ἀρκαδίας Ἀλφειὸς ποταμός.

1 118a Θύβριδος : 〈...〉 δύβρις κατὰ γλῶσσαν ἡ θάλασσα. τινὲς δὲ Σικελίας ἔφησαν ποταμὸν Θύμβριδ α . Θύβρις ποταμὸς Σικελίας, ἐφ' ᾧ μυθεύονται Ἡρακλῆν 〈.

1 118b .. ὅτε〉 τὰς ἐκ τῆς Ἐρυθείας βοῦς ἐλαύνων ἐνταῦθα ἀφίκετο· γενομένου δὲ χειμῶνος ἀνυπερβλήτου χῶσαι τὸν ποταμὸν καὶ ἐπίπεδον ποιῆσαι, ἐφ' οὗ οἱ Κεφαλοίδιοι δείκνυνται κατοικοῦντες. Θεαίτητος δέ φησι Συρακοσίους ἀπὸ τῆς ὕβρεως 〈ὀνομάσαι προσθέσει τοῦ Θ 〉 . [5]

1 118c Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς διὰ τοῦ δ γράφει καί φησι ' δύβρις κατὰ γλῶσσαν ἡ θάλασσα.' γράφουσι δέ τινες κατὰ Θύμβριδος · ἔστι δὲ καὶ GEAT οὗτος ποταμὸς Σικελίας. ὦ Πὰν Πάν : ποιητικὴ ἐπανάληψις· εἰ μή τις πιθανεύοιτο λέγων, ὡς ὁ νοῦς ἐστι τοιοῦτος· ὦ τὸ πᾶν σύ, ὦ Πάν, ἵνα τὸ μὲν πρῶτον περισπασθῇ, τὸ δὲ δεύτερον ὀξυτονηθῇ. [5]

1 123a KGEAPT τὸν δὲ Πᾶνα οἱ μὲν Πηνελόπης καὶ Ὀδυσσέως ἢ Ἑρμοῦ, ἄλλοι δὲ Διὸς καὶ Καλλιστοῦς, ἕτεροι δὲ Αἰθέρος καὶ KGEAT Οἰνηΐδος, ἔνιοι δ' Οὐρανοῦ καὶ Γῆς.

1 123c Λυκαίου : Λύκαιον ὄρος Ἀρκαδίας κληθὲν ἀπὸ Λυκάονος τοῦ Πελασγοῦ, ἐν ᾧ καὶ μαντεῖον Πανός· KGEAT εἰς ὃ ὄρος 〈φασὶν〉 ἐλθοῦσαν τὴν Λυκάονος θυγατέρα Καλλιστὼ ὑπὸ Ἑρμοῦ τραφῆναι ἄρκτον οὖσαν.

1 123d ἣν καί φησιν Ἄρατος ἐν οὐρανῷ ἐστηρίχθαι (Phaen. 10). εἴ τ ' ἐσσὶ κα τ ' ὤρεα μακρὰ Λυκαίου : ἐπὶ τῷ Λυκαίῳ φασὶ χωρίον καλούμενον [Καλλιστοῦς] 〈.

1 123e ..〉 εἰς ὅ φασι τὰ εἰσερχόμενα ζῷα ἄγονα γίνεσθαι.

1 123g Λυκαίω : ὄρος Ἀρκαδίας. Μαίναλον : ὄρος Ἀρκαδίας ἀπὸ Μαινάλου τοῦ Λυκάονος· ἔνθα ἡ Ἀταλάντη τῷ Ἰάσονι παρέσχετο δόρυ ξένιον· 'δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' Ἀταλάντη Μαινάλῳ ἐν ποτέ οἱ ξεινήιον ἐγγυάλιξεν' (Apoll.

1 124b Rhod. I 769 sq.). Ἑλίκας δὲ λίπε ῥίον : τοῦ ὄρους τὸ ἀκρωτήριον παρὰ τὸ ἐπιρρεῖσθαι τοῖς τῶν ὑετῶν καὶ πηγῶν ὕδασιν.

1 125/126a KGEAPT Ἑλίκας δὲ λίπε Ῥίον : Ἑλίκη ὄνομα πόλεως πρὸς τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ.

1 125/126b PT 〈 αἰπύ τε σᾶμα τῆνο Λυκαονίδαο : .

1 125/126c . . 〉 ὃ Αἰπύτου τάφον καλοῦσι. καὶ Ὅμηρος (Β 604)· 'Αἰπύτιον παρὰ τύμβον.' ἀγητόν : ἔκπληξιν ἔχον διὰ τὰ ἐν αὐτῷ γινόμενα περὶ Λυκάονα καὶ Καλλιστὼ 〈καὶ〉 Ἀρκάδα.

1 125/126d K g GEAT λήγετε : ὥσπερ ἄρχετ ε , οὕτω λήγετ ε , ἀντὶ τοῦ λήγειν ποιήσατε.

1 127 KGEAPT φέρευ : οἱ μὲν κατὰ συναλοιφὴν φέρ ε , εἶτα εὐπάκτοιο τοῦ καλῶς πεπηγότος· οἱ δὲ ἐκπληροῦσι φέρε υ , ἀντὶ τοῦ λάμβανε δηλονότι.

1 128/129a μελίπνουν δὲ ἢ ἡδύφωνον ἢ ἡδὺ ὀδωδυῖαν διὰ τὸν κηρόν. τὸ δὲ ἑξῆς· τὴν σύριγγα 〈τὴν〉 ἐκ κηροῦ εὐπήκτου, περὶ χεῖλος εἱλουμένην ἐν τῷ συρίζειν. 〈 περὶ χεῖλος ἑλικτάν : 〉 ἤγουν τῷ ἐκ τοῦ στόματος ἐξερχομένῳ πνεύματι· πρῶτον γὰρ περὶ 〈τὸ〉 χεῖλος τῆς σύE g ριγγος ἑλίσσεται τὸ πνεῦμα. [5]

1 132

φορέοιτε βάτοι : βάτος 〈...〉 . νάρκισσος : θηλυκῶς λέγεται ἐνταῦθα, παρὰ δὲ Ἀριστοφάνει (fgm.

1 133a 754 Kock Com. att. fgm. I 571; III 724) ἀρσενικῶς. ἐ π ' ἀρκεύθοισι : ἄρκευθος εἶδος δένδρου, ὅπερ ἐστὶν ἀκανθῶδες, ἢ φυτόν.

1 133c ἀρκεύθοισι κομᾶσαι : ἄρκευθος εἶδος φυτοῦ ἀκανθώδους. τὸ δὲ κομᾶσαι ἀντὶ τοῦ ἀναθῆλαι· τὰ ἀπαρέμφατα ἀντὶ προστακτικῶν. ἔναλλα : οἷον ἐνηλλαγμένα.

1 134a κατὰ τὸ 'ἄνω ποταμῶν χωροῦσι πηγαί' (Eur. Med. 410). ὄχνας καὶ ἀπίους καὶ ἀχλάδας.

1 134b ἀχλάδας μὲν διὰ τὸ ἐν τῷ ἐσθίεσθαι ὄχλησιν ἐμποιεῖν, οἱονεὶ ὀχλάδας οὔσας· ὄγχνας δὲ ἀπὸ τοῦ ἄγχειν δοκεῖν· ἀπίους δέ, ὅτι πρῶτον ἐν Πελοποννήσῳ δοκοῦσι φῦναι, ἣ ἐλέγετο Ἀπία. ἐνεῖκαι : ἀπὸ τοῦ ἐνέκω ἤνεικα καὶ τροπῇ τοῦ κ εἰς ξ κατὰ Βοιωτοὺς ἤνειξα.

1 134[c] K r ἐνείκοι : ἐνέγκοι, φέροι.

1 134[d] PT ὤλαφος ἕλκοι : θηλάζοι.

1 135* P σκῶπες : εἶδος ὀρνέων κακόφωνον.

1 136 Ἀλέξανδρός (Περὶ ζῴων fgm. 13 Wellmann Herm. 26, 1891, 55o) φησι τοὺς σκῶπας οὐκ ἐπιτερπεῖς τῇ φωνῇ· διὸ καὶ παρ' Ὁμήρῳ (ε 66) φησὶν ὀρθῶς δοκεῖν γράφεσθαι 'σκῶπές τ' ἴρηκές τε', KGEAPT οὐ δεῖν δὲ γράφειν χωρὶς τοῦς · οἱ γὰρ σκῶπες 〈λέγονται, διότι σκαιὰν ὄπα καὶ〉 φωνὴν ἀφιᾶσι. Καλλίμαχος (fgm. 100 c 7 Schneider, II 293) δέ φησιν, ὅτι φθέγγεται ὥσπερ ἐπισκώπτων τῇ φωνῇ, ὅθεν καὶ οὕτω καλεῖται. Τυραννίων δὲ σκῶπας τοὺς νυκτικόρακάς φησιν, οἷον σκίοπας, τοὺς ἐν σκιᾷ ἔχοντας τὴν ὄπα. ἀνεπαύσατο : εὐφήμως τὸ ἀποθανεῖν ἀναπαύσασθαι ἔφη. [10]

1 138 καὶ Ὅμηρος (Λ 241)· 'ὣς ὁ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον.' ἦθε λ ' ἀνορθῶσαι : ἐκ δευτέρου ζῶντα παραστῆσαι.

1 139/140a K g GEAP λίνα : ἤτοι ἐπεπληρώκει τὸ χρεών.

1 139/140b καὶ Ὅμηρος KGEAPT (Υ 128)· 'γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.' λίνον δὲ ἀντ' ἐρίου οἱ ποιηταὶ συνάπτειν 〈λέγουσι τὰς Μοίρασ〉 , ὅτι τὸ λίνον ἐκ γῆς καὶ αὗται δὲ [αἱ Μοῖραι ἐκ γῆς] ἐπικλώθουσι τοῖς ζῴοις τὴν εἰς γῆν ἀνάλυσιν. τὰ τῶν Μοιρῶν φησι λίνα τὰ ἐπικεκλωσμένα· καὶ τὰ εἱμαρμένα ἐτελειοῦτο. [5]

1 139/140d ἔβα ῥόον : τουτέστιν ἀπέθανε καὶ διὰ τοῦ Ἀχέροντος διῆλθε. 〈 ἔκλυσε δίνα : 〉 ἤτοι περιέσχεν αὐτὸν ἡ τοῦ Ἀχέροντος δίνη.

1 141a τὸν Μοίσαις φίλον : καθὸ πρῶτος εὕρατο βουκολικά. 〈 τὸν οὐ Νύμφαισιν ἀπεχθῆ : 〉 ἐπεὶ μία τῶν Νυμφῶν αὐτοῦ ἠράσθη.

1 141c [ φίλον ἄνδρ α] 〈 τὸν οὐ Νύμφαισιν ἀπεχθῆ : 〉 ἐπεὶ 〈περὶ〉 πάσας οἰκείως διέτριβε. τό τε σκύφος : ὅπερ ὑπέσχου ποτήριον.

1 147a σχαδόνων : σχάδονες τὰ τῶν κηφήνων κηρία. 〈...〉 ὥς φησιν Ἀριστοτέλης. Θεαίτητος δὲ τοὺς κηροὺς τοὺς ἔχοντας τῶν κηφήνων τοὺς γόνους, οἵτινες ἡδὺ ποιοῦσι βρῶμα. οἱ δὲ κοινότεροι ἐπὶ τῶν κηφήνων τῶν ἐσθιόντων τὸ μέλι, ὥς φησιν Ἡσίοδος (Op. 304, cf. 305 sq.)· 'κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν.' ἀ π ' Αἰγίλω : Αἴγιλα δῆμος Ἀττικῆς, 〈Ἀντιοχίδοσ〉 φυλῆς, ἀπό τινος ἥρωος Αἰγίλου. [5]

1 147b ὅτι δὲ αἱ Ἀττικαὶ ἰσχάδες ἥδισται, καὶ ὁ Δίνων (fgm. 13 Mueller Fgm. hist. gr. II 92) μαρτυρεῖ. ἔστι δὲ καὶ Λακωνικὸν χωρίον Αἴγιλον. τινὲς δέ, KGEAPT ὅτι ἐστὶ καὶ νῆσος μεταξὺ Κρήτης καὶ Λακωνικῆς. 〈 ἀ π ' Αἰγίλω : 〉 ἀκρωτήριον Λακωνικὸν πλησίον Κρήτης. [5]

1 147[c] E g 〈 ἡνί : 〉 ἰδού.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 149b* 〈 θᾶσαι : 〉 θαύμασαι. κράναισι : ἐπὶ κρήναις ταῖς τῶν Ὡρῶν δόξεις αὐτὸ πεπλύσθαι, ἀντὶ τοῦ ἐν ἔαρι, ἐπεὶ ἀνθεῖ πάντα τότε.

1 150 KGEAPT ὦ δ ' ἴθι Κισσαίθα : ἡ κισσὸν λευκὸν κατανεμομένη.

1 151a αἰθὸν γὰρ τὸ λαμπρόν· ἐκ δὲ τοῦ λαμπροῦ γίνεται μεταληπτικῶς τὸ λευκόν. Κισσαίθα : ὄνομα αἰγὸς ἐκ τοῦ κισσῶ καὶ τοῦ αἴθω.

1 151c 〈 Κισσαίθα : 〉 ἡ ταχεῖα αἴξ ἀπὸ τοῦ ταχέως γεννᾶν· κισσῶ γὰρ τὸ γεννῶ, αἴθω δὲ τὸ καίω καὶ ἀνάπτω. Κισσαίθα : ἡ πρὸς τὸ γεννᾶν διάπυρος καὶ θερμή, ἀπὸ τοῦ κισσῶ τὸ γεννῶ καὶ τοῦ αἴθω τὸ καίω.

1 151d [εἰ δὲ Κιναίθα γράψεις, Κιναίθα ἐστὶν ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος ἤγουν ταχεῖα αἴξ, ἀπὸ τοῦ κινῶ καὶ τοῦ αἴθω τὸ καίω.] Θαλύσια Ἐπιδημήσας ὁ Θεόκριτος ἐν Κῷ ἐφιλιώθη Φρασιδάμῳ καὶ Ἀντιγένει τοῖς Λυκωπέως υἱοῖς.

7 arg a κληθεὶς δὲ ὑπ’ αὐτῶν ἐπὶ θαλύσια Δήμητρος ἄπεισι μετὰ Εὐκρίτου καὶ Ἀμύντου, οὐχ, ὡς Μουνάτιός φησι, μετὰ Φρασιδάμου καὶ Ἀντιγένους τῶν καλεσάντων αὐτούς· λέγει γάρ (v. 2)· ‘σὺν καὶ τρίτος ἁμὶν Ἀμύντας.‘ ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Θαλύσια· τὰ δὲ πράγματα διάκεινται ἐν Κῷ. [5]

7 arg b ἐπιδημήσας γὰρ ὁ Θεόκριτος τῇ νήσῳ, καθ’ ὃν χρόνον εἰς Ἀλεξάνδρειαν πρὸς Πτολεμαῖον ἐπορεύετο, φίλος κατέστη Φρασιδάμῳ καὶ Ἀντιγένει Λυκωπέως υἱοῖς. καὶ κληθεὶς ὑπ’ αὐτῶν εἰς ἀγρὸν ἐπὶ θαλύσια Δήμητρος ἄπεισι μετὰ Εὐκρίτου καὶ Ἀμύντου. καὶ διηγεῖται, ὡς κατὰ τὴν ὁδὸν ἐντυγχάνει Λυκίδᾳ τῷ Κυδωνιάτῃ ἀπὸ Κρήτης καὶ ὅπως ἀλλήλοις ὁμιλοῦσι καὶ διεξέρχονται τοὺς ἑαυτῶν ἔρωτας. ἤρα δὲ ὁ Λυκίδας παιδὸς Ἀγεάνακτος Μιτυληναίου, ὁ δὲ Θεόκριτος Μυρτοῦς ὄνομα. λαμβάνει δὲ ὁ Θεόκριτος λαγωβόλον παρὰ Λυκίδα, καὶ οὕτω χωρίζονται ἀπ’ ἀλλήλων. προλογίζει ὁ Θεόκριτος. [10]

7 arg c KP ἐς τὸν Ἅλεντα : τόπος ἐν Κῷ ἀπὸ Ἅλεντός τινος βασιλέως.

7 1a KGL g E g ἔνιοι δὲ τὴν ἅλω παρὰ τὸ ἀληλέσθαι ἐν αὐτῇ τοὺς ἀστάχυας.

7 1b KG ἐς τὸν Ἅλεντα : Ἅλεις ἢ δῆμος τῆς Κῶ [οὕτως ὀνομαζόμενος] ἢ τόπος ἐν Κῷ οὕτως ὀνομαζόμενος ἀπό τινος Ἅλεντος.

7 1c ἔστι δὲ Ἅλεις καὶ ποταμὸς Σικελίας. εἵρπομες : κυρίως μὲν ἐπὶ τῶν σκωλήκων, καταχρηστικῶς δὲ ἐπὶ τῶν νωθεστέρως πορευομένων· νῦν δὲ ἐπὶ τοῦ βαδίζειν εὐθέως παρειλήφαμεν.

7 2b εἵρπομεν : τὸ ἕρπειν κυρίως ἐπὶ τῶν ὄφεων καὶ τῶν σκωλήκων καὶ ἐπὶ τῶν ἑτέρων ἀπόδων ζῴων λέγεται, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωθεστέρως καὶ ἀσπουδεὶ πορευομένων. καὶ Ὅμηρός (ρ 158) φησι· 〈ἥμενος ἢ ἕρπων〉. νῦν GLEAT δὲ ἐπὶ τοῦ βαδίζειν παρειλήφαμεν. θαλύσια : ἡ τῶν καρπῶν τῶν ἐπὶ τῆς γῆς συγκομιδή. [5]

7 3a KGL g E g καὶ Ὅμηρος (I 534)· ‘ὂν οὔτι θαλύσια.‘ 〈.

7 3b ..〉 τὸν τῶν δένδρων καρπὸν ἄφθονον καὶ πολὺν ἀκμάζοντα καὶ δαψιλῆ τὸν ἐπὶ τῆς ἅλω συνηγμένον καρπόν. κολακεύει δὲ τὴν Δήμητραν 〈διὰ τὸ〉 πολλοῖς ἔτεσι τὴν αὐτὴν εὐθηνίαν αὐξηθῆναι. θαλύσια : Δήμητρος ἑορτὴ μετὰ τὴν συλλογὴν τῶν καρπῶν.

7 3c καὶ Ὅμηρος (I 534)· ‘θαλύσια γουνῷ ἀλωῆς.‘ καὶ Φρασίδαμος : οὗτος ὁ καὶ περισσός.

7 3d τὸ δὲ ἑξῆς· τῇ Δηοῖ γὰρ ἔτευξε θαλύσια ὁ Φρασίδαμος καὶ 〈ὁ〉 Ἀντιγένης. τὸ Λυκώπεος Αἰολικῶς προπαροξύνεται· ἐπειδὴ οἱ Αἰολεῖς Ἀχίλλευς καὶ Πήλευς λέγουσι βαρυτόνως, ὁμοίως καὶ τὸ Λυκώπευς, διὰ τοῦτο ἡ τῶν εἰς ευς γενικὴ παρ’ αὐτοῖς προπαροξύνεται.

7 5-9a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χαῶν : τῶν ἀγαθῶν. χαὰ γὰρ παρὰ Λακεδαιμονίοις τὰ ἀγαθά· χαῖον δὲ τὸ εὐγενὲς καὶ ἀρχαῖον, ὁμοίως καὶ τὸ χάον. εἴ τί περ ἐσθλὸν χαῶν τῶν ἔ τ ' ἄνωθεν ἀπὸ Κλυτίας : χαὸν λέγεται τὸ ἀγαθὸν παρὰ Λακεδαιμονίοις, χαῖον δὲ τὸ εὐγενὲς ἢ τὸ ἀρχαῖον.

7 5-9b ὁ δὲ νοῦς τούτου τοιοῦτος· εἴ τί ἐστιν ἀγαθὸν ἀπὸ τῶν ἔτι ὄντων ἀρχαίων [ἀγαθῶν] τῶν ἀπὸ τῆς Κλυτίας τε καὶ αὐτοῦ τοῦ Χάλκωνος, οὗτοί εἰσι τὸ ἀγαθὸν ἐκεῖνο, ὁ Φρασίδαμος καὶ ὁ Ἀντιγένης. ἀπὸ Κλυτίας : Κλυτία ὄνομα κύριον, Εὐρυπύλου τοῦ βασιλέως τῶν Κῴων γυνή, θυγάτηρ δὲ Μέροπος. [5]

7 5-9c φησὶν οὖν, ὅτι συγγενεῖς οἱ νεανίαι Χάλκωνος. Εὐρύπυλος ὁ Ποσειδῶνος Κλυτίαν γήμας ἐν Κῷ Χάλκωνα καὶ Ἀνταγόραν ἐγέννησεν, ἀφ' ὧν οἱ εὐγενεῖς ἐν Κῷ.

7 5-9e Εὐρύπυλος ὁ Ποσειδῶνος υἱὸς Κῴων βασιλεύων γήμας Κλυτίαν τὴν Μέροπος Χάλκωνα καὶ Ἀνταγόραν ἔτεκεν, ἀφ' ὧν οἱ ἐν Κῷ εὐγενεῖς. P οὗτοι δέ εἰσιν οἱ ἐπὶ τῆς Ἡρακλέους πολιορκίας τὴν Κῶ κατοικήσαντες καὶ ὑποδεδεγμένοι τὴν Δήμητραν, καθ' ὃν καιρὸν περιῄει τὴν Κόρην ζητοῦσα.

7 5-9f KGLEAPT καὶ σαφέστερον φάναι, τοῦτο βούλεται εἰπεῖν ὁ Θεόκριτος, ὅτι ἀπὸ τοῦ ἀρχαίου ἀγαθοῦ γένους τῆς Κλυτίας τῆς βασιλίσσης τῶν Κῴων καὶ τοῦ παιδὸς αὐτῆς τοῦ Χάλκωνος κατάγονται ὁ Φρασίδαμος καὶ ὁ Ἀντιγένης.

7 5-9g οὗτοι μόνοι ἀπὸ πάντων τῶν καταγομένων ἐξ αὐτῶν εἰσιν ἀγαθοί, καθάπερ καὶ οἱ πρόγονοι αὐτῶν. ἦν δὲ ἡ Κλυτία θυγάτηρ Μέροπος· γαμηθεῖσα δὲ Εὐρυπύλῳ τῷ βασιλεῖ τῶν Κῴων ἐγέννησε τὸν Χάλκωνα τὸν τὴν βασιλείαν τῶν Κῴων διαδεξάμενον. Χάλκων υἱὸς Κλυτίας καὶ Εὐρυπύλου. [5]

7 5-9h K Χάλκωνος : ὁ Χάλκων οὗτος ἵσταται ἐν Κῷ ἀνδριὰς καὶ ἐκ τοῦ ποδὸς αὐτοῦ ἐκρέει πηγή.

7 5-9i KGP Βούριναν : κρήνην λέγει τῆς Κῶ.

7 5-9k Φιλητᾶς (fgm. 19 KGLEAT Bach, p. 55)· 'νάσσατο δ' ἐν προχοῇσι μελαμπέτροιο 〈 – 〉 Βουρίνης.' Νικάνωρ δὲ ὁ Κῷος ὑπομνηματίζων φησί· 'Βούρινα πηγὴ ἐν τῇ νήσῳ ἐστίν, ἧς τὸ πρόσωπον βοὸς ῥινὶ παραπλήσιον.' ἔστι δὲ ῥέουσα ἐκ πέτρας διὰ βοὸς κεφαλῆς. ἢ τὴν μεγάλην διὰ τοῦ βου ἐπιτατικοῦ. βούπαις γὰρ καὶ βουγάϊος ὁ μέγας· καὶ Ὅμηρος (ς 79)· 'νῦν μὲν δὴ βουγάϊε.' ἐκ ποδὸς ἄνυε : ἤτοι ταχέως ἢ ἔξω τῆς πεπατημένης ὁδοῦ. [5]

7 5-9l οἱ δέ φασιν ἐκεῖσε ἐφεστάναι ἀνδριάντα, καὶ ἐκ τοῦ ποδὸς ἐκχεῖσθαι τὴν πηγήν. ἢ σπουδαίως κατήρτισε τὴν κρήνην, διὸ καὶ ἔφη· εὖ γ ' ἐνερεισάμενος πέτρᾳ γόνυ · καὶ ἡμεῖς φαμεν ἐκ ποδὸς οἷον εὐθέως. εἰ μὴ μεταφορικῶς ἔταξε τὸ ἐκ ποδό ς , οἷον ἐξ ἐδάφους καὶ τῆς πρώτης ὑποστάσεως· καὶ γὰρ Ὅμηρος (B 824) τὰ κατώτατα μέρη τῶν ὀρῶν 'πόδα νείατον' φησί. τὸ δὲ εὖ γ ' ἐνερεισάμενος 〈πέτρᾳ γόνυ 〉 συνεκδοχικόν· παντὶ τῷ σώματι τῇ πέτρᾳ ἐπερειδόμενος, ὅθεν ἡ πηγὴ χεῖται. ἐκ ποδὸς ἄνυε : ἢ ἐκ βάθους ἢ ἀφ' ὑψηλοῦ· πόδες γὰρ τὰ πλησιάζοντα τῇ γῇ τῶν ὀρῶν. [10]

7 5-9n 〈 εὖ γ ' ἐνερεισάμενος πέτρᾳ γόνυ : 〉 ὡς γενναίως προσκαθίσας τῇ πέτρᾳ. τινὲς δέ φασιν, ὅτι οἱ στενωποὺς ὀρύσσοντες τὸ μὲν γόνυ ἐρείδουσι τῇ γῇ, τῷ δὲ ἑτέρῳ ποδὶ τὸ σκαπτόμενον ὑπολαμβάνουσι χῶμα καὶ ὀπίσω αὐτῶν διωθοῦνται. οὕτως οὖν καὶ οὗτος ἐνερεισάμενος πέτρᾳ γόνυ τῇ συνεργίᾳ θατέρου ποδὸς τὴν κρήνην ἐποίησεν. Βούρειαν ὃς ἐκ ποδός : ὅτε ὁ Χάλκων ἐβασίλευε τῶν Κῴων, εὑρέθη ἔν τινι τόπῳ τῆς Κῶ ἡ πηγή, ἣν νῦν ὁ Θεόκριτος λέγει, μὴ πρότερον οὖσα. [5]

7 5-9o εὑρέθη δὲ οὕτως. ἀνηγγέλθη τῷ βασιλεῖ παρά τινος τῶν περὶ ταῦτα δεινῶν, ὅτι PT ὕδατος ὁ τόπος ἐκεῖνος ἐνδομυχεῖ. καὶ ὁ βασιλεὺς αὐτεπιστατήσας τῷ τόπῳ ἠὐτούργησεν, ὅσα συνέτεινε πρὸς τὴν τοῦ ὕδατος ἔκρηξιν. τοῦτο οὖν δηλοῖ τὸ ὃς ἐκ ποδὸς ἄνυε κράνα ν , ὅτι ὁ Χάλκων διὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν οἰκείων ποδῶν καὶ δι’ αὐτεπιστασίας ἤνυσεν, ἤγουν κατειργάσατο καὶ κατώρθωσε, τὴν κρήνην. τὸ δὲ εὖ ἐνερεισάμενος πέτρᾳ γόνυ τοῦτό ἐστιν, ὅτι αὐτὸς ὁ Χάλκων, οὐχὶ ὀρθοστάδην ἱστάμενος, ἀλλὰ οὕτω δεῆσαν κάμψας τὸ γόνυ καὶ καλῶς ἑδράσας καὶ στηρίξας τοῦτο τῇ πέτρᾳ τῇ πρὸς τῇ κρήνῃ αὐτοχειρὶ κατεπράξατο τὴν τοῦ ὕδατος ἔκρηξιν. Βούρεια δέ, ὅτι ἀπὸ κεφαλῆς βοὸς ἐκ λίθου πεποιημένης ἐδόκει τὸ ὕδωρ ἐκρεῖν οὕτω τοῦ Χάλκωνος μηχανησαμένου τε καὶ κατασκευάσαντος. ἢ Βούρεια ἡ πολύρρους ἀπὸ τοῦ β ου ἐπιτατικοῦ μορίου καὶ τοῦ ῥέω. Νικάνωρ δὲ ὁ Κῷος ὑπομνηματίζων Βούριναν τὴν κρήνην καλεῖ. συμβῆναι γάρ φησιν ἐξ αὐτομάτου καὶ αὐτοφυῶς βοὸς ῥινὶ παραπλήσιον εἶναι τὸν τόπον, ἐξ οὗ τὴν κρήνην ἐκραγῆναι ὁ Χάλκων ἐποίησεν. ἄλλοι δέ φασιν, ὅτι ὁ Χάλκων ἀνδριάντα ἔστησεν εἰς τὸν τόπον, ἐν ᾧ τὸ ὕδωρ εὑρέθη, καὶ ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος τὸ ὕδωρ ἐξήρχετο. καὶ νοοῦσι τὸ ὃς ἐκ ποδὸς ἄνυσε κράναν καὶ τὸ εὖ ἐνερεισάμενος πέτρᾳ γόν υ , ὅτι ὁ Χάλκων ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος ἤνυσε κρήνην Βούρειαν εὖ καὶ καλῶς καὶ ἐπιστημόνως ἐνερεισάμενος τὸ γόνυ τοῦ ἀνδριάντος ἐν τῇ πέτρᾳ τῇ πρὸς τῇ κρήνῃ. εἰ δὲ τοῦτο οὕτω νοήσεις, νοῆσαι ὀφείλεις καὶ Βούρειαν κρήνην τὴν πολύρρουν καὶ πολυχεύμονα. εἰσὶ δὲ οἵτινες τὸ ἐκ ποδὸς ἐνόησαν τὸ ἔξω τῆς πεπατημένης ὁδοῦ, λέγοντες ὅτι ἡ πηγή, περὶ ἧς ὁ λόγος, οὐκ ἦν κατὰ τὴν δημοσίαν ὁδόν, ἀλλ’ ἐκτός. κατηρεφέες : σκιώδεις, φύλλοις κατάστεγοι. [30]

7 10a κοὔπω : ἀντὶ τοῦ· καὶ οὔπω τὸ ἥμισυ τῆς ὁδοῦ ἠνύσαμεν. σᾶμα : ὁ τάφος ἀπὸ τοῦ τὸν τόπον σημειοῦσθαι καὶ περιορίζεσθαι.

7 11 τὸ Βρασίλα : οἱ γράφοντες διὰ τοῦ δ ἁμαρτάνουσιν. ἐγένετο γὰρ Βρασίδας Λάκων τὸ γένος· ὁ Λακεδαιμόνιος δὲ Βρασίδας οὐ τέθαπται ἐν Κῷ, ἀλλ’ ἐν Ἀμφιπόλει. ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομεν ἄνδρα : ἀντὶ τοῦ ἀγαθὸν καὶ μεμουσωμένον.

7 12b Κυδωνικὸν δὲ ἀντὶ τοῦ Κρητικὸν ἀπὸ τόπου. καὶ Ὅμηρος (τ 176)· ‘ἐν δὲ Κρῆτες μεγαλήτορες, ἐν δὲ Κύδωνες.‘ Κυδωνικόν : Κύδων ὄνομα ἔθνους.

7 12c ἔστι δὲ καὶ πόλις Κυδωνία ἀπὸ Κύδωνος τοῦ Ἑρμοῦ καὶ Ἀκακαλλίδος. KGLUEAT 〈 οὐδέ κέ τίς μιν 〉 ἠγνοίησεν : ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον· ὅτι ῥᾳδίως ἐπεγινώσκετο, ὅτι αἰπόλος ἦν.

7 16a κνακόν : ξανθὸν ἢ λευκόν· λευκὸν μὲν ἀπὸ τοῦ καρποῦ, ξανθὸν δὲ ἀπὸ τοῦ ἄνθους. KGLUEAT 〈λευκὸν ἢ μέλαν,〉 ὅτι ὁ μὲν κύκλος αὐτῆς μέλας, τὸ δὲ σπέρμα λευκὸν τῆς κνήκου.

7 16b ἢ ψαρόν. ἢ πυρρόν· τοιοῦτον γὰρ τὸ τῆς κνήκου ἄνθος. κνακόν : κνηκοειδές, λευκὸν ἀπὸ τῆς κνήκου τοῦ σπέρματος λευκοῦ ὄντος.

7 16d νέας ταμίσοιο : προσφάτου πιτύας πνέον. GLUEAPT νέας ταμίσοιο : ἡ πιτύα εἴρηται παρὰ τὸ θαμίζειν, ὅ ἐστι πυκνοῦν, τὸ γάλα περὶ αὐτὴν τρεφόμενον ἢ παρὰ τὸ ταμείων ἀξιοῦσθαι διὰ τὴν χρῆσιν.

7 16f τάμισος ἡ πιτύα οἱονεὶ θάμισός τις οὖσα παρὰ τὸ θαμίζειν, ὅ ἐστι πυκνοῦν· καὶ πυκνοῖ γὰρ τὸ γάλα, ὅ ἐστι πήγνυσι, περὶ αὐτὴν τρεφόμενον. εἰώθασι δὲ οἱ ποιμένες ἀπορίᾳ χειρομάκτρων τυροποιούμενοι ἀποψᾶσθαι οἷς περίκεινται δέρμασι.

7 17a γέρων ἐσφίγγετο πέπλος : παλαιός, ἐκ μεταφορᾶς τῶν ἡλικιῶν. γέρων : τριβακὸν ἱμάτιον, ὅ ἐστι παλαιόν.

7 18a ζωστῆρι πλακερῷ : πλατεῖ· πλακερὸν γὰρ τὸ πλατύ. γράφεται δὲ καὶ πλοκερῷ παρὰ τὴν πλοκὴν καὶ τὴν ὑφήν. ζωστῆρι πλακερῷ : ἄλλοι πλοκερῷ γράφουσιν.

7 18b εἴτε δὲ πλακερῷ γράφεται εἴτε πλοκερῷ, ἀντὶ τοῦ πεπλεγμένῳ ἐστίν. 〈 ῥοικάν : 〉 ἐπικαμπῆ.

7 19/20 σεσαρώς : ἀντὶ τοῦ· ἠρέμα ἐγέλα διεστηκὼς τὰ χείλη καὶ μειδιῶν. οὐκ εὖ δὲ κέχρηται τῇ λέξει. Σιμιχίδα : οἱ μὲν αὐτόν φασι Θεόκριτον, καθὸ Σιμίχου ἦν υἱός ἢ καθὸ σιμὸς ἦν.

7 21a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ δὲ ἕτερόν τινα τῶν σὺν αὐτῷ καὶ οὐ Θεόκριτον διὰ τὸ ‘Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον‘ (v. 96). φασὶ δὲ τὸν τοιοῦτον ἀπὸ πατρίου κληθῆναι, ἀπὸ Σιμιχίδου τοῦ Περικλέους τῶν Ὀρχομενίων, οἵτινες πολιτείας παρὰ Κῴοις τετυχήκασιν. Σιμιχίδα , πᾷ δή συ μεσαμέριον πόδας ἕλκεις : εἰσὶ καὶ πατρωνυμικὰ οὕτως ἀπαραλλάκτως λεγόμενα καὶ ἐπὶ τῶν υἱῶν ὡς καὶ ἐπὶ τῶν πατέρων.

7 21b ὥσπερ ὁ Θεόκριτος Σιμιχίδα υἱος ὢν Σιμιχίδαν ἑαυτὸν ὀνομάζει πατρωνυμικῶς· καὶ PT τὸν Ἀσκληπιάδην τὸν Σάμιον ποιητὴν Σικελίδαν καὶ αὐτὸν καλεῖ παῖδά τινος Σικελίδα λεγομένου τυγχάνοντα. ἀλλὰ καὶ ἐν τῷ εἰδυλλίῳ τῷ οὕτως λεγομένῳ Αἰπολικῷ καὶ Ποιμενικῷ (V) καὶ τὸν Εὐμήδη (v. 134) υἱὸν ὄντα τοῦ Κρατίδα Κρατίδαν φησὶ καὶ αὐτόν (v. 90. 99). οἱ λέγοντες δὲ Σιμιχίδαν λέγεσθαι τὸν Θεόκριτον διὰ τὸ εἶναι σιμὸν κακῶς λέγουσιν. σαῦρος : ἀρσενικόν, θηλυκὸν δὲ ἡ σαύρα.

7 22 φησὶ δὲ Ἀριστοτέλης (fgm. 328 Rose, 1532 b 25) περὶ τοῦ ζῴου, ὅτι ξηραινόμενον εἰς ἔχιν μεταβάλλει. KGLUEAT οὐ δ ’ ἐπιτυμβίδιαι : ἢ ὅτι τοῖς τάφοις ἐνδιατρίβουσιν ἢ ὅτι τὸν τύμβον ἐπὶ τῆς κεφαλῆς φέρουσι· τύμβος δὲ παρὰ τὸ τύφεσθαι ὅ ἐστι καίεσθαι.

7 23c ἢ παρὰ τὸ τύφω· φλογοειδεῖς γάρ εἰσιν. ἐπιτυμβίδιαι : αἱ ἐπὶ τύμβου διατρίβουσαι ἢ ἐπὶ τῶν κεφαλῶν ἔχουσαι τάφῳ παραπλήσιον.

7 23e κορυδαλλίδες δὲ παρὰ τὸ κόρυσιν ἐοικέναι τὴν κεφαλὴν αὐτῶν. αἱ δ ’ ἐπιτυμβίδιοι κορυδαλλίδες : κορυδαλλίδες ἐνταῦθα εἶδος ἑρπετοῦ· λέγονται δὲ ἐπιτυμβίδιοι, ὅτι τάφοις ὡς ἐπιπολὺ ἐνδιατρίβουσιν.

7 23f εἰ δὲ κορυδαλλίδας τὰ στρουθία νοήσεις, κορυδαλλίδες μὲν λέγονται διὰ τὸ κόρυσιν ἐοικέναι τὸ ἐπὶ τῆς κεφαλῆς αὐτῶν ἀνάστημα, ἐπιτυμβίδιοι δέ, ὅτι ὡσεὶ τύμβον τὸ τοιοῦτον ἀνάστημα ἐπὶ κεφαλῆς ἔχουσι. φέρεται δὲ ἐπὶ τούτων καὶ ἱστορία τοιαύτη· ὅτι πρὸ τοῦ γενέσθαι τὴν γῆν γεγόνασιν αὗται· συνέβη γοῦν ποτε αὐτῶν τὸν πρόγονον ἀποθανεῖν, καὶ γῆς μὴ οὔσης ἐτάφη ὑπὲρ τῆς κορυφῆς τοῦ ἰδίου γόνου· διὸ καὶ ἐπιτυμβίδιοι ἐπεκλήθησαν. ἠλαίνονται : ῥέμβονται, πλανῶνται· ἀπὸ τῆς ἄλης.

7 23g ὅμως καὶ αὗται ἠρεμοῦσιν. μετὰ δαῖ τ ’ ἄκλητος : 〈οὐ γὰρ ἄκλητοσ〉 εἰ ὑστερήσει, μοῖραν εὑρίσκει τῶν κρεῶν.

7 24 ἢ μετὰ δαῖτα κλητό ς . οἱ γὰρ κεκλημένοι σπεύδουσιν· ἐπὶ δὲ τῶν βραδυνόντων παροιμία· ‘ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται, ἢ χωλός ἐστιν, ἢ οὐ δίδωσι συμβολάς.‘ 〈 λανὸν ἔπι : 〉 ἤτοι ἐπὶ τρύγην.

7 26a πᾶσα λίθος : ἴσως διὰ τὴν εὐμουσίαν τοῦ Θεοκρίτου φησὶ καὶ τοὺς λίθους εὐμελῆ ἀποδιδόναι ἦχον προσπταίοντας τοῖς ποσίν. ἀρβύλη δὲ εἶδος ὑποδήματος ἀπὸ τοῦ ἁρμόζεσθαι.

7 26b KGLUEAT θηλυκῶς ἡ λίθος.

7 26c καὶ Ὅμηρος (Μ 287)· ‘λίθοι πωτῶντο θαμειαί.‘ καὶ (Ζ 242—43)· ‘δόμον ξεστῇς αἰθούσῃσι τετυγμένον‘, λίθοις δηλονότι ξεσταῖς.

7 26[e] ἀείδει : ᾠδὴν εὔρυθμον πέμπει. P τὸ δὴ μάλα θυμὸν ἰαίνει : ἤτοι τὸ εἶναί τινα συριστήν.

7 29-31a ἐκ τοῦ ποιητοῦ δὲ ὁ λόγος ἀντὶ τοῦ· ἐφ’ ᾧ δὴ μάλιστα καὶ αὐτὸς τέρπομαι. K g GLUEAT ἔλπομαι : ἐλπίζω, φησίν, ὅτι οὐ παρευδοκιμήσεις ἡμᾶς.

7 29-31b K ὁδὸς ἅδε θαλυσιάς : γράφεται θαλυσία · ἐπὶ θαλύσια ἄγουσα ἡμᾶς.

7 29-31c 〈...〉 ἔνθα σῖτον ἐκτρίβουσιν. 〈 ὄλβω ἀπαρχόμενοι : 〉 ἀπαρχὴν διδόντες τοῦ ὄλβου καὶ τοῦ πλούτου.

7 33a L g U g E g P g τὸ δὲ ὄλβου ἀπαρχόμενοι ἀντὶ τοῦ τῆς ἐπικαρπίας ἀπάργματα 〈διδόντεσ〉.

7 33b

PT εὔκριθον ἀνεπλήρωσεν ἀλωάν : ἀπὸ μέρους, τῆς κριθῆς, τὴν εὔκαρπον παρεδήλωσεν.

7 34a εὔκριθον δὲ καὶ οὐχὶ GUPT εὔσιτον ἅλωνα προσηγόρευσε διὰ τὸ δοκεῖν πρῶτον εὑρεθῆναι τὸν τῆς κριθῆς καρπόν. κριθὴ δὲ ὠνομάσθη διὰ τὸ προκριθῆναι τῶν πρόσθεν καρπῶν ἢ διὰ τὸ τοὺς στάχυας κεκριμένους ἐν αὐτῇ καὶ διακεχωρισμένους ἔχειν τοὺς κόκκους. 〈 εὔκριθον : 〉 εὔκαρπον· παραδηλοῖ δὲ τοῦτο ἀπὸ τοῦ κρείττονος τῶν σπερμάτων. [5]

7 34c ἀλωάν : τὴν ἅλωνα παρὰ τὸ ἁλής· ἐκεῖ γὰρ ἀθροίζουσι τοὺς στάχυας· Καλλίμαχος (fgm. 86 Schneider, II 249)· ‘ἐς τὸ πρὸ τείχους ἱερὸν ἁλέες δεῦτε.‘ καὶ ἅλς ἡ θάλασσα ἐντεῦθεν ἢ 〈παρὰ〉 τὸ ἁλεὶς τὸ συστραφείς. τά χ ’ ὤτερος : Δωρικὴ ἡ συναλοιφή· ὁ ἄτερος ὤτερος.

7 36a τὸ γὰρ ὁ ἕτερος διὰ τοῦ ου οὕτερος, ὡς παρὰ Ἡροδότῳ (I 34. 134). τά χ ’ ὤτερος : ἡμαρτημένως ἐξενήνοχεν ὤτερος 〈ἄλλον 〉 · ἕτερος γὰρ 〈ἐκ δυοῖν〉, ἄλλος ἐκ πλειόνων.

7 36b ὁ ἕτερος τὸν ἕτερον διὰ τῆς μουσικῆς ὠφελήσει. καπυρόν : ἡδὺ μεταφορικῶς.

7 37 τὰ γὰρ ἔξοπτα τῶν ἐδεσμάτων ἡδύνει τὴν γεῦσιν. 〈 ἐγὼ δέ τις οὐ ταχυπειθής : 〉 τοῦτό φησι ταπεινῶν ἑαυτόν.

7 39a οὐ γᾶν : οὐ μὰ γῆν. ὤμνυον κατὰ τῶν στοιχείων. καὶ Ὅμηρος (Ξ 272)· ‘χειρὶ δὲ τῇ ἑτέρᾳ μὲν ἕλε χθόνα πουλυβότειραν.‘ KLUEAT κα τ ’ ἐμὸν νόον : κατὰ τὴν ἡμετέραν δόξαν.

7 39b Ὅμηρος (I 108)· ‘οὔ τι καθ’ ἡμέτερόν γε νόον.‘ κα τ ’ ἐμὸν νόον : κατ’ ἐμὴν κρίσιν.

7 39c P σικελίδαν : Ἀσκληπιάδην φησὶ τὸν ἐπιγραμματογράφον.

7 40a οὗτος γὰρ Σάμιος τὸ γένος. Σικελίδας δ’ ἐκαλεῖτο πατρωνυμικῶς· Σικέλου γὰρ υἱὸς ἦν οὕτω καλουμένου.

7 40c Ἀσκληπιάδην φησὶ τὸν Σάμιον τὸν ἐπιγράμματα γράψαντα, οὗ δοκεῖ ἀκουστὴς γεγονέναι. Σικελίδαν : ὥσπερ Σιμιχίδαν ἑαυτὸν καλεῖ ὁ Θεόκριτος πατρωνυμικῶς ὡς υἱὸν Σιμιχίδα καὶ τὸν Εὐμήδην Κρατίδαν υἱὸν ὄντα τοῦ Κρατίδα, οὕτω καὶ νῦν Σικελίδαν ὀνομάζει ὡς υἱὸν τοῦ Σικελίδα 〈Ἀσκληπιάδην〉 τὸν Σάμιον· οὗ δοκεῖ GPT ἀκουστὴς γεγονέναι. [5]

7 40e νίκημι : Αἰολικῶς εἶπε· διὸ οὐ περισπαστέον. τὸ μι Αἰολικῶς· περιττὸν γὰρ πρόσκειται κατ’ Αἰολεῖς. ἐκείνων γάρ ἐστι τὸ λέγειν τὸ πρωΐ καὶ τὸ δείλης .......σθον.. τούτοις. KU Φιλητᾶς Κῷος τὸ γένος, ὡς δέ τινες Ῥόδιος, υἱὸς KU m Τηλέφου.

7 40f ἐγένετο δὲ καὶ αὐτὸς ποιητής. οὐδὲ Φιλητᾶν : ὁ Φιλητᾶς Κῷος ἦν ἢ ὡς ἔνιοι Ῥόδιος ποιητής, υἱὸς Τηλέφου.

7 41a βάτραχος δὲ πο τ ’ ἀκρίδας : ἤγουν πρὸς τοὺς εἰρημένους σοφοὺς οὐδαμινός εἰμι, καὶ ὥσπερ βάτραχος ἐρίζει πρὸς τὰς ἀκρίδας οὐδέν, οὕτω κἀγὼ πρὸς αὐτούς. βάτραχος : ὁ μὲν βάτραχος τραχύφωνός ἐστιν, ὅθεν καὶ ὠνόμασται βοάτραχός τις ὤν, ὁ τῇ βοῇ τραχύς· τῶν δὲ ἀκρίδων εἰσί τινες, αἳ συρίζουσιν ἐναρμόνιον.

7 41c βάτραχος δέ : τῶν μὲν βατράχων τραχεῖα ἡ φωνὴ ὡς ἀπὸ τῆς ἐτυμολογίας, τῶν δὲ τεττίγων ἐναρμόνιος. ἐπίταδες : ἐπιτετευγμένως ἢ ἐξεπίτηδες.

7 43 τάν τοι , ἔφα , κορύναν δωρήσομαι : τὸ ἔφα τοῦ Θεοκρίτου, ὁ δὲ λοιπὸς στίχος τοῦ Λυκίδου. πᾶν ἐ π ’ ἀληθείᾳ : ὅτι φιλαλήθης πέφυκας.

7 44 τὸ δ ’ ἐκ Διό ς , ὅτι ἀψευδής ἐστιν ὁ Ζεύς. Ὅμηρος (Α 526)· ‘οὐ γὰρ ἐμὸν παλινάγρετον.‘ ὥς μοι καὶ τέκτων : οἷον καυχώμενος καὶ ἐπαγγελλόμενος ποιεῖν οἶκον Ὠρομέδοντος ὑψηλότερον ὄρους κεφαλῆς, παντελῶς ἀδυνάτου τῆς πράξεως ὑπαρχούσης.

7 45/46a ἢ Ὠρομέδοντα τὸν Πᾶνα συνθέτως, ὅ ἐστι βασιλέα τῶν ὀρῶν ἢ τοῦ οὐρανοῦ. ἢ τὸ Ὠρομέδων γράφεται Εὐρυμέδων, ἵν’ ᾖ ὁ Περσεὺς παρὰ Ἀργείοις. [5]

7 45/46c

ὁ δὲ νοῦς· μισῶ καὶ τέκτονα, ὃς ἐρευνᾷ δόμον τελέσαι μέγεθος ἔχοντα τῆς τοῦ ὄρους κορυφῆς. ἢ ὄρος ἐν Κῷ ἀπὸ Ὠρομέδοντος τοῦ τῆς Κῶ βασιλεύσαντος. καὶ ὁ Διονύσιος τὸν Πᾶνά φησι παρὰ τὸ μέδειν τῶν ὀρῶν, ἄλλοι δὲ τὸν οὐρανόν, ἄλλοι τὸν ἥλιον, ἄλλοι μοιχὸν Ἥρας εἶναι τοῦτον. Ὠρομέδοντος : τοῦ ὄρους τοῦ ὑψηλοτάτου, τοῦ τῶν ὀρῶν μέδοντος τῷ ὕψει. [5]

7 45/46d ἢ Ὠρομέδοντά φησι τὸν Πᾶνα· ἀγροικικὸς γὰρ θεός. ὄρος δὲ αὐτοῦ, ὃ κατοικεῖ, τὸ τῆς Θετταλίας, ὡς προϊὼν (v. 103) οὗτος λέξει. LUEAT δόμον Ὠρομέδοντος : Ὠρομέδοντα οἱ μὲν τὸν Πᾶνά φασιν ὡς τῶν ὀρέων μέδοντα κατ' ἔκτασιν τοῦο · οἱ δὲ τὸν ἥλιον ὡς βασιλεύοντα τῶν τεσσάρων ὡρῶν τοῦ ἐνιαυτοῦ.

7 45/46e τὸ δὲ ἀληθές· Ὠρομέδων ἐστὶν ὄρος ἐν Κῷ ὑψηλότερον τῶν ἐν GPT τῇ Κῷ ἑτέρων ὀρέων, κατ' ἔκτασιν καὶ τοῦτο τοῦ ο . ὁ δὲ νοῦς· μισῶ τέκτονας τοὺς καυχωμένους καὶ ποιεῖν ἐπαγγελλομένους οἶκον ἴσον τῇ κορυφῇ τοῦ ὄρους τοῦ Ὠρομέδοντος· τοῦτο γὰρ ἀδύνατον. ὅστις ἐρευνεῖ : φιλονεικεῖ. [5]

7 45/46f U g E g GP ποτὶ [ τὸ ν ] Χῖον ἀοιδόν : τὸν Ὅμηρον.

7 47* K g L g U g E g GP ὄρη φίλε : ὅρα.

7 52-56[a] ἀρχὴ τῆς ᾠδῆς. ἔσσεται Ἀγεάνακτι : ἑαυτὸν παρεισάγει Λυκίδας Μιτυληναίου τινὸς ἐρῶντα καὶ τοῦτο εὐχόμενον.

7 52-56b ᾄδει οὖν ταῦτα εἰς τὸν Ἀγεάνακτα εὐχόμενος αὐτὸν ὑγιᾶ ἀπελθεῖν εἰς Μιτυλήνην, καὶ ὅταν δύνωσιν οἱ ἔριφοι καὶ καταφέρηται ὁ KLUEAT Ὠρίων εἰς τὸν ὠκεανὸν καὶ ὁ νότος πνέων ἐλαύνῃ τὰ κύματα, ἐὰν ἐμὲ τὸν Λυκίδαν τοῦ ἐρᾶν παύσῃ. ἔσσεται Ἀγεάνακτι : τὸν Λυκίδαν ὁ Θεόκριτος εἰσάγει ἐρῶντα Μιτυληναίου παιδὸς Ἀγεάνακτος, ὅθεν καὶ εὔχεται, ἵνα εὐπλοῇ, κἂν χειμῶνος νότος τὴν θάλασσαν διαταράττῃ καὶ τῶν ἐρίφων δυνόντων σφοδροὶ χειμῶνες γίνωνται. [5]

7 52-56d ἐς Μιτυλήναν : ἐπειδὴ Μιτυληναῖος ὢν μέλλει χωρίζεσθαι εἰς τὴν πατρίδα, φησίν, ὅτι αὐτῷ καλὸς πλοῦς ἔσται, κἂν χειμῶνος πλέῃ, ὥστε τοὺς μὲν ἐρίφους ἑσπέρας δύνειν καὶ τὸν Ὠρίωνα καταφέρεσθαι, τὸν δὲ νότον ταράσσειν τὸ πέλαγος. κατασταθήσεται δέ, φησίν, ὁ χειμών, καὶ εὐπλοήσει ὁ Ἀγεάναξ, ἂν αὐτὸν τοῦ ἔρωτος παύσῃ χαρισάμενος τῆς ὥρας. χὤταν : δυνόντων γὰρ τῶν δύο ἐρίφων 〈ἑσπέρασ〉 σφοδροὶ κατὰ θάλασσαν γίνονται χειμῶνες. [5]

7 52-56f ἐ φ ' ἑσπερίοις ἐρίφοις : ὅταν γοῦν, φησί, τῶν ἐρίφων ἑσπέρας δυνόντων τὸ πέλαγος νότος ταράσσῃ καὶ ὅταν ὁ Ὠρίων εἰς τὸν ὠκεανὸν καταφέρηται, χειμῶνες γίγνονται. ἡνίκα τὸ ἄστρον οἱ ἔριφοι 〈δύνει ἑσπέρασ〉, σφοδροὶ γίνονται χειμῶνες κατὰ θάλασσαν, καὶ ὅτε Ὠρίων δύνει.

7 52-56g ἔριφοί εἰσιν ἀστέρες· ὅτε ἀνατέλλουσιν οὗτοι, ἀγριαίνεται ἡ θάλασσα. αἴκεν τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Ἀφροδίτας ῥύσηται : τὸ αἴκεν ἀντὶ τοῦ ἵνα· ἵνα, φησί, τὸν Λυκίδαν ὀπτώμενον ὑπὸ τοῦ ἔρωτος καὶ καιόμενον ῥύσηται.

7 57a χἀλκυόνες : Ἁλκυὼν θυγάτηρ μὲν Αἰόλου καὶ Κανάκης, γυνὴ δὲ Κήϋκος. Ἀλέξανδρος δέ φησιν ὁ Μύνδιος (Περὶ ζῴων fgm. 23 Wellmann Herm. 26, 1891, 552), ὅτι αὕτη θεῶν λέλογχε 〈...〉 Νηρηΐδων 〈...〉 Λευκοθέαν, Παλαίμονα, Ἀφροδίτην. ἁλκυόνες οὖν ἐκλήθησαν παρὰ τὸ ἐν ἁλὶ κύειν. [5]

7 57b Ἀντίγονός (23 Keller Rerum nat. script. gr. min. I 8) φησιν, ὅταν γηράσωσιν αἱ ἁλκυόνες, κηρύλους καλεῖσθαι. Ἀριστοτέλης (Hist. an. VIII 3, 593 b 14) δὲ διῄρησεν ἁλκυόνα καὶ κηρύλον καὶ κορώνην. οἱ δέ φασιν, ὅτι τὰ ἄρρενα τούτων κηρύλοι καλοῦνται· ὅπερ ἀληθές ἐστι. θρηνητικὸν δὲ τὸ ζῷον καὶ παρὰ τοῖς αἰγιαλοῖς νεοττεύει, καὶ τὸ κῦμα ἀφαιρεῖται αὐτοῦ τοὺς νεοττούς. ιδʹ δέ φασιν ἡμέρας, ὅταν γεννᾷ, εὐδιάζειν, ἃς καλοῦσιν ἁλκυονίδας, ζʹ πρὸ τῆς γεννήσεως καὶ ζʹ μετὰ τὴν γέννησιν. χἀλκυόνες : Ἀντίγονός (v. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

7 57c sch. b) φησιν, ὅτι γηράσκουσαι αἱ ἁλκυόνες κηρύλοι γίνονται. τὸ δὲ ζῷον βιοτεύει περὶ τὸν αἰγιαλόν, καὶ τὸ κῦμα ἀφαιρεῖται αὐτοῦ τοὺς νεοσσούς. ιδʹ δὲ ἡμέρας φασὶ περὶ τὰς χειμερινὰς τροπὰς εὐδιάζειν, ἃς καλοῦσιν ἁλκυονίδας. εἴρηται δὲ ἁλκυὼν παρὰ τὸ ἐν ἁλὶ κύειν. ἁλκυόνες : ὄρνιθες θαλάσσιαι, ὧν τικτουσῶν στρώννυται ἡ θάλασσα.

7 57d λέγονται δὲ αἱ ἡμέραι ἐκεῖναι ἁλκυονίδες. στορεσεῦντι : ἀντὶ τοῦ στορέσουσι καὶ στρώσουσι τὰ κύματα καὶ γαληναῖα ποιήσουσιν, ἐάν με τοῦ ἔρωτος ἐξέληται, τὸν Λυκίδαν.

7 58a φυκία κινεῖ : φῦκός ἐστι τὸ λεγόμενον βρύον. φῦκός ἐστι τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα.

7 58b οἱ δὲ φυκίον φασὶ βοτάνην τὴν ἐν τῷ βυθῷ γινομένην, παρὰ τὸ φύεσθαι. ἕτεροι δὲ φυκία φασὶ τὰ ἐν τοῖς αἰγιαλοῖς βρύα κοκκινοειδῆ. ὃς ἔσχατα φυκία κινεῖ : τὸ φυκίον εἶδος βοτάνης ἐστί.

7 59 γλαυκαῖς Νηρηΐσι : γλαυκὰς τὰς Νηρηΐδας φησὶ διὰ τὸ ἐν τῇ θαλάσσῃ διάγειν· οὐ γάρ εἰσι γλαυκαὶ τὸν χρῶτα. ἐφίλαθεν : τὸ ἐφίλαθεν Δωρικόν ἐστιν ὡς τὸ ἐκόσμηθεν.

7 60a [Καλλίμαχος (fgm. [332] Schneider, II 544) δὲ] προπαροξυντέον. ἐφίλαθεν : ἐφιλήθησαν ἢ καὶ φιλοῦνται.

7 62 ὥρια : τῷ Ἀγεάνακτι ἀποπλέοντι εἰς Μιτυλήνην γένοιτο πάντα τὰ ὥρια, ἤγουν τὰ διὰ φροντίδος αὐτῷ. ἢ ὥρια πάντα γένοιτο ἀντὶ τοῦ φυλακτικὰ ἀπὸ τοῦ ὠρῶ τὸ φυλάσσω. 〈 τῆνο κα τ ’ ἆμαρ : 〉 καθ’ ὃ ῥύσεταί με δηλονότι ὁ Ἀγεάναξ τῆς ἐρωτικῆς φλογός.

7 63[a] U g E g ἀνήτινον : εἶδός ἐστιν ἄνθους· ἀνητίνοις δ’ ἐχρῶντο στεφάνοις, ὡς Ἀλκαῖος (fgm.

7 63b 36 Bergk Poet. lyr. gr. III 4 162) καὶ Σαπφώ (fgm. 46 Bergk ib. 105). τινὲς δὲ καὶ πᾶν ἄνθος ἄνηθον παρὰ τὸ ἄνω θέειν. KLUEAT ἀνήτινον ἢ ῥοδόεντα : ἐχρῶντο γὰρ καὶ ἀνητίνοις στεφάνοις.

7 63c GPT ἄνηθον τὸ μάλαθρον η , ἄνισον δὲ τὸ γλυκάνισον ι .

7 63[d] T φυλάσσων : ἀντὶ τοῦ ἔχων.

7 64a Ὅμηρος (ε 208)· ‘ἐνθάδε μοι τόδε δῶμα φυλάσσεις.‘ μὴ ἀποτίλλων τὰ ἐξ αὐτοῦ ἄνθη, ὃ δηλοῖ πεφυλαγμένῳ αὐτῷ χρώμενος.

7 65a τὸν Πτελεατικόν : Πτελέα τόπος ἐν Κῷ ἢ ἐν Ἀρκαδίᾳ. ἢ τὸν Θεσσαλικὸν οἶνον. KLUEAGPT τὸν ὑγείας καὶ ῥώμης παρασκευαστικόν.

7 65b ἢ τὸν ἐξ ἀναδενδράδων [δρόσον], παρόσον ταῖς παρακειμέναις πτελέαις ἐμπλέκονται. ἢ Ἐφέσιον· Πτελέα γὰρ ἡ Ἔφεσος ἐκαλεῖτο. ἢ τόπος ἐν Κῷ ἢ ἐν Ἀρκαδίᾳ. Ὅμηρος (Β 594)· ‘Πτελεὸν καὶ Ἕλος.‘ ἢ τὸν ἐξ ἀναδενδράδων, αἳ ταῖς πτελέαις ἐποχοῦνται.

7 65c ἢ ἀπὸ τόπου· ἔστι δὲ ὁ τόπος μέσον Ἐφέσου καὶ Μιλήτου. κύαμον : οὐ μάτην φησίν.

7 66 ὁ γὰρ κύαμος διψοποιός, καὶ πόσεως χάριν φησίν. χἀ στιβάς : ὑποστρώσομεν καὶ στιβάδα πήχεως.

7 67b στιβάς : στρωμνὴ ἐπὶ τῆς γῆς ἐκ φύλλων πῆχυν ἔχουσα τὸ ὕψος. κνύζᾳ τε : τὴν κόνυζαν κνύζαν εἶπεν.

7 68a ἔστι δὲ φυτὸν ψυκτικώτατον, ἔνθεν καὶ ἐν τοῖς Θεσμοφορίοις ὑποστρωννύουσι τὴν θερμότητα τὴν κατὰ τὰ ἀφροδίσια ἐκκόπτοντες. κνύζᾳ τε : τὴν κόνυζαν λέγει κνύζαν.

7 68b ἔστι δὲ φυτὸν παῦον τὰ ἀφροδίσια. ἀσφόδελος φυτόν, παρ’ Ὁμήρῳ λειμών.

7 68d ἀσφόδελος βοτάνη πλατύφυλλος, ἧς ὁ καυλὸς καλεῖται ἀνθέρικος. καὶ Ἡσίοδος (Op. et D. 41)· ‘οὐδ’ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ.‘ ἀσφοδελὸς δὲ ὁ τόπος ὁ ἔχων ἀσφοδέλους· Ὅμηρος (λ 539)· ‘βῆ δὲ κατ’ ἀσφοδελὸν λειμῶνα.‘ πολυγνάπτῳ τε σελίνῳ : πολύγναπτον λέγεται, ὅτι οὖλόν ἐστιν, ὡς καὶ καμπάς τινας ἔχειν.

7 69

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαλακῶς : ἡδέως, ὡς τὸ ‘μαλακῷ δεδμημένος ὕπνῳ‘ (Hom.). K αὐταῖσι κυλίκεσσιν : οὐ διαιρῶν εἰς μικρά, ἀλλ’ ἐν αὐταῖς ἀπνευστὶ πίνων.

7 70a KP αὐταῖσι κυλίκεσσι : τουτέστιν ἡδέως πίνων καὶ ἀθρόως, οὐ διαιρῶν εἰς τὰ μικρότατα τῶν ἐκπωμάτων.

7 70b KLUEAT τρύγα δὲ τὸν νέον οἶνον.

7 70c Καλλίμαχος (fgm. 530 Schneider, II 675)· ‘ἐπὶ τρύγα δ’ εἶχεν ἐδωδῇ.‘ KLUEA ἐς τρύγα : νῦν τὸν οἶνόν φησιν, ὅθεν ὁ τρυγητός.

7 70d KU g καὶ ἐς τρύγα : τρὺξ κυρίως ὁ νέος οἶνος λέγεται, καταχρηστικῶς δὲ καὶ ὁ παλαιός.

7 70e νῦν δὲ τὸν τρυγίαν λέγει. Ἀχαρνεύς : ἤγουν Ἀττικός· Ἀχάρναι γὰρ δῆμος Ἀττικῶν.

7 71a KLUEAT Ἀχαρνεύς : δῆμος Ἀττικῆς.

7 72a Λυκωπίτας : Αἰτωλός· Λυκώπη γὰρ κώμη Αἰτωλίας. ἢ ἀπὸ δήμου· Λύκωπος γὰρ δῆμος Κῴων [ Λυκωπίτα ς] ἐκ Λυκωπέως (v. 4) ἔχων τὴν κλῆσιν. Λυκωπίτας : ὁ ἀπὸ Λυκώπης.

7 72b ἡ δὲ Λυκώπη πόλις Αἰτωλίας. GPT ὁ δὲ Τίτυρος : ὄνομα αἰπόλου.

7 72c τινὲς δὲ παρὰ Δωριεῦσι τοὺς Σατύρους 〈οὕτωσ〉 ἀποδεδώκασι λέγεσθαι. Τίτυρος : ὄνομα κύριον ἢ ὁ Σάτυρος.

7 72d P ὥς ποκα τᾶς Ξενέας : ὄνομα κύριον.

7 73a 〈ἢ〉 ὡς τὸ LUEAT κενεᾶς· ἀπέδοσαν δὲ τῆς ἐκ Κρήτης ξένης. γράφεται τᾶς ξανθᾶ ς .

7 73c Ξενία : μία τῶν Νυμφῶν ἡ Ξενία. ἢ Νύμφη ἡ ξενέα. ἢ ὄνομα κύριον. Μοῦσα ἦν ἡ Ξενέα.

7 74 〈 ἀμφεπονεῖτο : 〉 γράφεται ἀμφεπολεῖτ ο , ἤγουν ψηλαφῶσα τὸν Δάφνιν. Ἱμέρα : γενικὴ πτῶσις.

7 75a ἔστι δὲ ὄνομα ποταμοῦ Σικελίας καὶ πόλις ὁμώνυμος. 〈 Ἱμέρα : 〉 ὄνομα πόλεως ἢ ποταμὸς Σικελίας.

7 75c Ἱμέρα : πόλις Σικελίας καὶ πηγὴ καὶ ποταμὸς ἀπὸ τῆς πηγῆς ταύτης ἔχων τὴν ἀρχήν. 〈 κατετάκετο : 〉 καλῶς τὸ τήκειν· σημαίνει γὰρ τὸ κατὰ μικρὸν ὑπορρεῖν.

7 76/77b Αἷμος ὄρος Θρᾴκης ἀπὸ Αἵμου τοῦ Βορέου καὶ Ὠρειθυίας. Ἄθως καὶ Ῥοδόπη ὀνόματα ὀρῶν.

7 76/77d ἢ Ἄθω : Σοφοκλῆς (fgm. 708 Nauck Trag. gr. fgm 2 299 )· ‘Ἄθως σκιάζει νῶτα Λημνίας ἁλός.‘ ὠνόμασται δὲ ἀπό τινος γίγαντος Ἄθω, ὃς ἦν Ποσειδῶνος καὶ Ῥοδόπης τῆς Στρυμόνος. ἀπὸ τῆς μητρὸς γοῦν τῆς Θρᾴκης τὸ ὄρος, ἀπὸ δὲ τοῦ υἱοῦ τὸ Πελασγικὸν ἐπωνόμασται. Αἷμος καὶ Ῥοδόπη ὄρη Θρᾴκης. [5]

7 76/77e 〈 Ἄθως 〉 ὄρος Θετταλίας, ὃ διέκοψεν ὁ Ξέρξης. Καύκασος ὄρος Σκυθίας.

7 76/77g ἐσχατόωντα : ἐν ἐσχάτοις μέρεσι τῆς γῆς ὄντα. KPT Καύκασον : Ἀετόν φασιν εἶναι ποταμόν, περὶ τοὺς τόπους τοῦ Καυκάσου λάβρως φερόμενον, τὴν χώραν Προμηθέως λυμαινόμενον, ὃν ἀπέστρεψεν Ἡρακλῆς· ἐξ οὗ, φασίν, ὁ μῦθος 〈.

7 76/77h ..〉. KLUEAT φασίν, ὅτι Θεόκριτος τὰ τοῦ Δάφνιδος εἰς τὸν Κομάταν 〈μετήνεγκεν〉.

7 78/79a τοῦτον γὰρ ἡ μήτηρ ἐξέθηκε τὸν πατέρα Ἄνακτα εὐλαβουμένη, εἰδυῖα ὅτι οὐ πείσει ὑπὸ τοῦ Χρύσου διακορηθῆναι λέγουσα. KLUEAT εὐρέα λάρναξ : Λύκος (fgm.

7 78/79b 6 Mueller Fgm. hist. gr. II 372) φησὶ τῆς Θουρίας ὄρος Θάλαμον, ὑφ’ ὃ ἄντρον τῶν Νυμφῶν· καλοῦσι δὲ αὐτὰς Ἀλουσίας οἱ ἐπιχώριοι ἀπὸ τοῦ παραρρέοντος Ἀλουσίου ποταμοῦ. ἐν τούτῳ ποιμὴν ἐπιχώριος δεσπότου θρέμματα βόσκων ἔθυεν ἐπίσυχνα ταῖς Μούσαις. οὗ χάριν δυσχεράνας ὁ δεσπότης εἰς λάρνακα κατακλείσας ἀπέθετο αὐτόν. ἐν τούτῳ ἐδίσταξεν ὁ δεσπότης [βουλευόμενος], εἰ σώσειαν αὐτὸν αἱ θεαί. ἐξηκούσης δὲ διμήνου παραγενόμενος καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ ζύγαστρα τῆς λάρνακος διανοίξας ζῶντα κατείληφε καὶ τὴν λάρνακα κηρίων πεπληρωμένην εὗρεν. ἄνακτα δέ φησι τὸν δεσπότην. ᾀσεῖ δ ’ ὥς πο κ ’ ἔδεκτο : τὶς αἰπόλος καλούμενος Κομάτας—ταὐτὸν δέ ἐστιν εἰπεῖν Μενάλκας—τοῦ οἰκείου δεσπότου θρέμματα βόσκων ἐν Σικελίᾳ ἐν τῷ ὄρει τῆς Θουρίας ἔθυε συχνάκις ταῖς Μούσαις.

7 78/79c ὁ δὲ δεσπότης αὐτοῦ δυσχεράνας κατέκλεισεν αὐτὸν εἰς λάρνακα ξυλίνην πειράζων εἰ σώζουσιν αὐτὸν αἱ Μοῦσαι. δύο δὲ μηνῶν παρελθόντων παραγενόμενος καὶ ἀνοίξας ζῶντα μὲν αὐτὸν εὗρε, πλήρη δὲ τὴν λάρνακα κηρίων. αἱ σιμαὶ λειμωνόθε : οὕτω καλεῖν ἔθος τὰς μελίσσας.

7 80 τὸ γοῦν πρὸς ὑποδοχὴν τῆς ἐργασίας αὐτῶν ἄγγος σίμβλον καλοῦμεν, ὅπου τὸν κάματον τῶν σιμῶν βάλλομεν, σιμοβόλον τινὰ ὄντα. κέδρον ἐς ἁδεῖαν : τὴν κιβωτὸν ἀπὸ τῆς ὕλης.

7 81 P χέε νέκταρ : αἱ Μοῦσαι γὰρ αὐτὸν ᾄδειν ἐποίησαν.

7 82a δηλοῖ δὲ διὰ τοῦ νέκταρος ὑπερβολικῶς τὴν μελιχρότητα. κατὰ συνεκδοχήν· ἀπὸ μιᾶς γὰρ τὰς πάσας δηλοῖ.

7 82b διὰ δὲ τοῦ νέκταρος τὴν γλυκυφωνίαν ἐδήλωσεν. ὅτι ᾖδε γλυκύ, δηλονότι μουσικὸς ἄριστος.

7 82c L g U g E g Κομάτα : πέπλασται τὰ περὶ τοῦ Κομάτα ὑπὸ Θεοκρίτου· παρὰ 〈γὰρ〉 τοῖς ἀρχαίοις οὐ παραλαμβάνομεν ὑπὸ μελισσῶν τρεφόμενον τὸν Κομάταν, καθάπερ ὁ Δάφνις ἱστορεῖται.

7 83 〈...〉 ‘οὐχὶ κεράσταν, ὅν ποτ’ ἐθρέψατο ταυροπάτωρ‘ (Fist. 3). κατεκλᾴσθης : ἡ κλεὶς παρὰ Δωριεῦσι κλᾲξ λέγεται, ἀφ’ οὗ τὸ κατεκλᾴσθη ς .

7 84 K ὥριον : τινὲς τὸν ὅλον ἐνιαυτόν.

7 85a δύναται δὲ καὶ οὕτως οὐ πάντως τὸ δωδεκάμηνον λέγειν, ἀλλὰ τὴν τῶν ὡρῶν μεταβολήν· διαιρεῖται γὰρ εἰς δ′. τὸ γοῦν ἔαρ ὁ Θεόκριτος ὥριον εἶπεν, KLUEAT τουτέστι τὸν τριμηνιαῖον καιρόν.

7 85b διὰ γὰρ τριμηνιαίου καιροῦ πληροῦνται αἱ τέσσαρες ὧραι τοῦ χρόνου. ἢ εἰς ὥρας παρεγένου ἢ εἰς δύο μῆνας τοῦ ἔαρος. LUEAT 〈 ἐξεπόνασας : 〉 ἐπλήρωσας.

7 85[c] K g αἴθε : εἴθε.

7 86 Δωρικὸν τὸ αἴθε, Ἰακὸν δὲ τὸ εἴθε· εὐκτικὸν ἐπίρρημα. τὸ δὲ ἦμες ἀντὶ τοῦ εἶναι Δωρικῶς. KLUEAPT ἐκ τοῦ ποιητοῦ ὁ λόγος.

7 90 K g Νύμφαι κἠμέ : ἐν εἰρωνείᾳ ὡς πρὸς αἰπόλον· ἐχρῆν γὰρ εἰπεῖν αἱ Μοῦσαι.

7 92 εἰ μή τις παρέργως τὰς Νύμφας ἀκούει Μούσας· οὕτως γὰρ αὐτὰς οἱ Λυδοὶ καλοῦσιν. ἐπὶ θρόνον ἄγαγε φάμα : ἐπὶ τὴν τοῦ Διὸς βασιλείαν· λέγει δὲ τὸν οὐρανόν.

7 93b ἅτινα καὶ μέχρι τοῦ οὐρανοῦ ἔφθασαν. ὃ μέλλω λέγειν, φησί, παρὰ τὰ ἄλλα διενήνοχεν.

7 94/95b ᾧ τυ γεραίρεν : ᾧτινί σε τιμήσω· ἢ δι’ οὗ, ἵν’ ᾖ γενική. ὦ τύ [ γεραίρε ν]: ἀντὶ τοῦ ὦ φίλε σύ.

7 96/97a ἐπέπταρον : καθὸ τῶν πταρμῶν οἱ μέν εἰσιν ὠφέλιμοι, οἱ δὲ βλαβεροί. καὶ γάρ φησιν αὐτὸς σφόδρα Μυρτοῦς ἐρᾶν. ὁ δὲ Ὅμηρος ἐπ’ ἀγαθῷ τὸν πταρμόν φησιν (ρ 545)· ‘οὐχ ὁρᾷς, ὅ μοι υἱὸς ἐπέπταρεν.‘ τὸ ἐπέπταρόν τινες μὲν λαμβάνουσιν ἐπὶ ἀγαθοῦ, τινὲς δὲ ἐπὶ κακοῦ.

7 96/97c ᾖ γάρ : περὶ ἑαυτοῦ ὁ ποιητὴς ᾄδων φησί· τῷ Σιμιχίδᾳ οἱ Ἔρωτες ἐπέπταρον. τῆς γὰρ Μυρτοῦς τοσοῦτον ἐρᾷ, ὅσον αἱ αἶγες κατὰ τὸν καιρὸν τοῦ ἔαρος. τὸν δὲ πταρμὸν ἐπὶ τῇ χείρονι μοίρᾳ. 〈 ἐπέπταρον : 〉 ἐπῆλθον, ἐπὶ κακῷ ἔπεσον καὶ ἐγένοντο· ἢ ἐπὶ καλῷ.

7 98-102a Ἄρατος : ὁ δὲ φιλαίτατος τῷ Σιμιχίδᾳ Ἄρατος ἐρᾷ παιδός· ἐπίσταται δὲ αὐτοῦ τὸν ἔρωτα Ἄριστις, ὄνομα δὲ τοῦ παιδὸς Φιλῖνος. KLUEAGPT οἶδεν Ἄριστις : οὗτος κιθαρῳδός.

7 98-102b

τοῦτον δέ, φησί, τὸν Ἄριστιν οὐδὲ ὁ Ἀπόλλων ἐν Πυθοῖ παρὰ τοῖς ἰδίοις τρίποσι κιθαρῳδοῦντα ἰδὼν ἀποστραφήσεται οὐδὲ φθονήσει αὐτῷ ᾄδειν ἐκεῖ. KLUEAT 〈 μεγαίροι : 〉 κωλύοι ἀποτρεπόμενος.

7 98-102[c] L g U g E g οἶδεν Ἄριστις : τὰ περὶ Ἀρίστιδος διὰ μέσου κεῖται.

7 98-102d τὸ δὲ ἑξῆς· οἶδεν Ἄριστι ς , ὡς ἐκ παιδὸς Ἄρατος ὑ π ’ ὀστέον αἴθε τ ’ ἔρωτ ι . τόν μοι Πάν : ἐπικαλεῖται τὸν Πᾶνα 〈ὡς παιδεραστήν〉 , ἐπεὶ καὶ αὐτὸς τοιοῦτός ἐστιν.

7 103a καὶ Καλλίμαχος (fgm. 412 Schneider, II 585)· ‘Πὰν ὁ Μαλειήτης τρύπανον αἰπολικόν.‘ Ὁμόλη δὲ Θετταλίας ὄρος, ὡς Ἔφορος (fgm. 71 Mueller Fgm. hist. gr. I 256) καὶ Ἀριστόδημος ὁ Θηβαῖος ἐν οἷς ἱστορεῖ περὶ τῆς ἑορτῆς τῶν Ὁμολωΐων (fgm. 2 Mueller Fgm. hist. gr. III 309) καὶ Πίνδαρος ἐν τοῖς Ὑπορχήμασιν (fgm. 113 Schroeder Poet. lyr. gr. 5 I 1, 432). Ὁμόλου ἐρατὸν πέδον : ὁ Ὅμολος ὄρος ἐστὶ τῆς Θετταλίας, ἔνθα τιμᾶται ὁ Πάν.

7 103b εὔχεται δὲ αὐτῷ ὡς παιδεραστῇ. ἄκλητον κείνοιο : ἤγουν καὶ πρὸ τοῦ καλεσθῆναι αὐτὸν παρ’ ἐμοῦ ἐμβιβάσαις μου ταῖς χερσὶν αὐτόν, τὸν Φιλῖνον.

7 105 ὁ μαλθακός : τρυφερός, ἁπαλός, ἐκ τῆς μάλθης. αὕτη γάρ ἐστι κηρὸς ἀμόργῃ συνηψημένος· χρίουσι δὲ αὐτῇ τὰς τῶν σανίδων γομφώσεις. ἀφ’ οὗ διὰ τὴν ἔκλυσιν καὶ τὸ ἐν τῷ βίῳ λοιδόρημα λέγεται. Ἀρκαδικοί : οἱ Ἀρκάδες ἐπὶ θήραν ἐξιόντες, ἂν μὲν εὐτυχήσωσι, τιμῶσι τὸν Πᾶνα, εἰ δὲ τὸ ἐναντίον, σκίλλαις ἐμπαροινοῦσι, παρόσον ὄρειος ὢν τῆς θήρας ἐπιστατεῖ.

7 106-108b Μουνάτιος δέ φησιν ἑορτὴν Ἀρκαδικὴν εἶναι, ἐν ᾗ οἱ παῖδες τὸν Πᾶνα σκίλλαις βάλλουσι, [Χῖοι δὲ] ὅταν οἱ χορηγοὶ λεπτὸν ἱερεῖον θύσωσι καὶ μὴ ἱκανὸν ᾖ τοῖς ἐσθίουσι. διό φησι· κρέα τυτθὰ παρεί η . 〈 μαστίσδοιεν : 〉 ὑβρίζοιεν, ὅταν τύχωσι θήρας ὀλίγης.

7 106-108d τῶν ἐφήβων [ἐν Σικελίᾳ] γίνεται ἀγὼν ἐν σκίλλαις· καὶ οἱ νικήσαντες ταῦρον τὸν ὑπὸ τῶν γυμνασιαρχῶν τιθέμενον λαμβάνουσιν ἔπαθλον. εἰ δ ’ ἄλλως : εἰ δὲ ἄλλως τελέσειας, ὦ Πάν, τὰ κατὰ Φιλῖνον καὶ μὴ βούλει συνελθεῖν αὐτὸν τῷ Ἀράτῳ, ἐπὶ κνιδῶν κοιμηθείης.

7 109/110a KGPT τὸν Πᾶνά φασι γεννηθῆναι ἐκ τῆς Πηνελόπης συλλαβούσης ἐκ τῶν μνηστήρων· διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη.

7 109/110b ἕτεροι δὲ λέγουσι τὸν Ἑρμῆν εἰς τράγον μεταβληθέντα, καὶ τούτου ἐρασθεῖσα ἡ Πηνελόπη καὶ ἐξ αὐτοῦ ὀχευθεῖσα ἔτεκε τὸν Πᾶνα· ἔστι δὲ ὁ Πὰν τραγόπους. Πηνελόπη γυνὴ γέγονεν Ὀδυσσέως.

7 109/110[c] τούτου πλανωμένου τὴν πλάνην, ἣν ἐπλανήθη μετὰ τὸν Τρωϊκὸν πόλεμον, πολλοί τινες ἦλθον μὲν μνηστευόμενοι τὴν Πηνελόπην, ἡ δὲ ἡμέρας καὶ ἡμέρας ἀνεβάλλετο μηδενὶ θέλουσα γαμηθῆναι διὰ τὸ περιμένειν τὸν Ὀδυσσέα τὸν ἄνδρα αὐτῆς. πάντες οὖν 〈συμ〉 φραξάμενοι συγγεγόνασιν αὐτῇ, καὶ ἐγκυμονήσασα ἔτεκε τὸν Πᾶνα. διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. ἕτεροι δὲ λέγουσιν, ὅτι πάνυ εὐμορφοτάτη καὶ σωφρονοῦσα ἡ Πηνελόπη, διὰ τοῦτο ἠράσθη αὐτῆς ὁ Ἑρμῆς καὶ μετεβλήθη εἰς τράγον. καὶ ἐκνοήσας αὐτὴν μαγείᾳ, ἠράσθη τοῦ τράγου καὶ ὠχεύθη ὑπ’ αὐτοῦ καὶ συνέλαβεν ἐξ αὐτοῦ καὶ ἔτεκε τὸν Πᾶνα. οὗτος δέ ἐστι Πὰν ὁ τραγόπους. κνίδη ὑφ’ ἡμῶν, ἀκαλήφη δὲ ὑπ’ Ἀττικῶν.

7 109/110d ἔστι δὲ καὶ ἀγρία κνίδη, ἧς τὸν καρπὸν συλλέγουσιν, ὅταν τὸν πυρὸν KLUEAT ἁλοῶσιν. [ἔστι δὲ καὶ ἄγριον λάχανον.] εἴης δ ’ Ἠδωνῶν : ἔθνος Θρᾴκης.

7 111a οὕτως δὲ ψυχροτάτη ἐστὶν ἡ Θρᾴκη, ὡς τρόπον τινὰ ἐργαστήριον ἀνέμων κληθῆναι. Ὅμηρος (I 5)· ‘Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον‘. εἴης δ ’ Ἠδωνῶν μέν : οἱ Ἠδωνοὶ ἔθνος Θρᾳκικόν, ἔνθα ψῦχος πολὺ γίνεται· δυσχείμερον γάρ ἐστι.

7 111b παρὸ καὶ τοὺς ἀνέμους ἐν αὐτῷ κατοικεῖν ἐμυθεύοντο. Ἕβρον : Ἀλκαῖός (fgm.

7 112a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

109 Bergk Poet. Lyr. gr. III 4 183) φησιν, ὅτι Ἕβρος κάλλιστος ποταμός, Διοκλῆς (ὁ Πεπαρήθιος? fgm. 5 Mueller Fgm. hist. gr. III 79) δὲ καταφέρεσθαι αὐτὸν ἀπὸ Ῥοδόπης καὶ ἐξερεύγεσθαι κατὰ πόλιν Αἶνον. 〈 τετραμμένος : 〉 γράφεται κεκλιμένος. [5]

7 114a Βλέμυες ἔθνος Αἰθιοπικὸν μελανόχρουν· οἱ αὐτοὶ δὲ τοῖς Τρωγλοδύταις. οὐκέτι Νεῖλος ὁρατός : οὐ πάνυ ἐπαληθεύει ἀθέατον τὸν Νεῖλον εἰπών.

7 114b ὑπὲρ γὰρ τοὺς Βλέμυας οὐκέτι γινώσκεται ὁ Νεῖλος πόθεν ἔχει τὰς πηγάς. Νεῖλος ἀπὸ Νείλεω, ὃς ἔκτισε 〈.

7 114c ..〉 Ναύκρατιν μετὰ μάχην· ἢ ἀπὸ τοῦ νάειν λείως, ὅ ἐστι 〈μὴ〉 κατὰ συστροφήν· ἢ παρόσον νέαν ἰλὺν φέρει· ἢ ὅτι κατ’ ἔτος πλημμυρῶν ὡρισμένον χρόνον νεάζειν δοκεῖ. ὔμμες δ ’ Ὑετίδος : ποιησάμενος τὸν λόγον πρὸς τὸν Πᾶνα ἀπέστρεψε πρὸς τοὺς Ἔρωτας ἐπικαλούμενος αὐτούς.

7 115-118b Ὑετὶς δὲ καὶ Βυβλὶς ὄρη καὶ κρῆναι Μιλήτου. Μιλήτου γάρ, φασίν, 〈τοῦ Ἀπόλλωνοσ〉 καὶ Ἀρείας ἐγένοντο παῖδες Καῦνος καὶ Βυβλίς, KL 1.2 U 1.2 E 1.2 A 1.2 ἧς ἐρασθεὶς ὁ Καῦνος ἀπέλιπε Μίλητον.

7 115-118c ἐκείνη δὲ μὴ φέρουσα ἀπήγξατο. ταύτης ἡ κρήνη ὁμώνυμος. τὸ ἑξῆς· ὑμεῖς, ὦ μήλοισιν ἐρευθομένοις ὅμοιοι Ἔρωτες, Ὑετίδος καὶ Βυβλίδος νᾶμα λιπόντες καὶ τὰ ἑξῆς, ἐρασθῆναι ποιήσατε τὸν Φιλῖνον.

7 115-118e Οἰκεῦντα : ἐν Μιλήτῳ τόπος, 〈ἔνθα〉 ἱερὸν Ἀφροδίτης. ὔμμες δ ’ Ὑετίδος καὶ Βυβλίδος : πρὸς τοὺς Ἔρωτας τὸν λόγον ἀπέστρεψε καί φησι· ὦ μήλοις ὅμοιοι Ἔρωτες, τουτέστιν ἐρυθροί.

7 115-118f Ὑετὶς δὲ καὶ Βυβλὶς κρῆναι Μιλήτου, ἔνθα καὶ ἱερὸν Ἀφροδίτης. 〈 ὁ δύσμορος : 〉 ὁ δυσμόρους ἄλλους ποιῶν.

7 119* L g U g E g P g πεπαίτερος ἀντὶ τοῦ ἀσθενέστερος, ἀπὸ μεταφορᾶς τῶν παρὰ τὸ δέον πεπανθέντων καρπῶν καὶ σηπομένων.

7 122-124a μηκέτι τοι φρουρέωμες : ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Ἄρατον καί φησι· μηκέτι αὐτὸν φυλάσKLUEAGPT σωμεν ἐπὶ προθύρῳ τοὺς πόδας κατατρίβοντες. ἄλλον ἀλέκτωρ κοκκύσδων : ὡς ἅμα 〈τῷ〉 τοὺς ἀλεκτρυόνας ᾄδειν παραγενόμενον καὶ φρουροῦντα τὸν Φιλῖνον.

7 122-124c ὁ νοῦς τοιοῦτος· ἡμεῖς μὲν μέχρι καὶ τοιᾶσδε τῆς νυκτὸς φυλακῆς τοῖς αὐτοῦ προθύροις ἐπεμείναμεν· κατὰ δὲ τὸν ὄρθριον ἀλέκτορα καὶ ἄλλος ἐραστὴς τοῖσδε τοῖς προθύροις ἐπιμείνῃ. εἷς δ ’ ἀπὸ τᾶσδε : ἡμῶν, φησίν, εἷς καὶ μόνος Μόλων ἐπὶ ταύτης τῆς παλαίστρας ἀπολέσθω.

7 125a λέγει δὲ ἢ τὴν παλαίστραν κυρίως, ἐν ᾗ ἐγυμνάζετο ὁ Φιλῖνος προσλιπαρούντων αὐτῶν, ἢ μεταφορικῶς ὡς καὶ ἡμεῖς φαμεν παλαίστραν τὴν ὀρθρίαν. Μόλων —ὡς Σίμων—Ἀράτου ἀντεραστής. [5]

7 125b παλαίστραν δὲ λέγει τὸν ἔρωτα τοῦ παιδός, τὴν κακοπάθειαν. δύναται δὲ καὶ μολὼν μετοχὴ εἶναι ἀντὶ τοῦ ἐπερχόμενος.

7 125d Μόλων : ἔξωθεν τοῦτο ἐπιφωνεῖ· εἷς δὲ ἀπὸ ταύτης τῆς παλαίστρας ἀπαγχέσθω. ὁ δὲ Μόλων ὀνομαστικῶς εἴρηται. τὴν δὲ προσκαρτέρησιν παλαίστραν εἶπεν. ἀλλ’ εἷς ἐξ ἡμῶν, ὁ Μόλων—ἢ μολών—ἐπὶ ταύτης τῆς παλαίστρας τῇ φυλακῇ κακοπαθείτω.

7 125e παλαίστραν δὲ εἶπε τὴν προσκαρτέρησιν, ἤτοι τὴν πρὸς τὸν ἔρωτα πάλην. ἄρχοιτο παλαίστρας : ἀντὶ τοῦ· ἐπιτηροῖτο τὴν παλαίστραν.

7 126 γραία τε παρείη : παρὰ Δωριεῦσι ἡ μὲν πρώτη συλλαβὴ ὀξύνεται, ἡ δὲ δευτέρα μηκύνεται. LUEA ἅτις ἐπιφθύζουσα : ἥτις ἐπῳδαῖς περὶ ἡμᾶς ἀποδιοπομπήσαιτο.

7 127a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φθύζειν δὲ τὸ πτύειν Δωρικῶς· εἰώθασι γὰρ αἱ γραῖαι, ὅταν ἐπᾴδωσιν, ἐπιπτύειν. τινὲς δέ· ὀλίγον χρόνον συμπαροῦσα· φθύδιον γὰρ τὸ ὀλιγοχρόνιον κατὰ γλῶσσαν. KLUEAT ἥτις ἐπιφθύζουσα : ἐπιπτύουσα Δωρικῶς· εἰώθασι γὰρ αἱ γραῖαι, ὅταν ἐπᾴδωσιν, ἐπιπτύειν.

7 127b GP ὡς πάρος : ὡς πρότερον, φησίν, ἐπηγγείλατο.

7 128/129a 〈 ἐκ Μοισᾶν : 〉 διὰ τὴν μουσικήν. 〈 ξεινήϊον : 〉 δωρεάν. λαγωβόλο ν , ἣν ἄνωθεν (v.

7 128/129b 43) κορύνην εἶπε—'τάν τοι, ἔφα, κορύναν δωρήσομαι'—παρὰ τὸ βάλλειν τοὺς λαγωούς. K ἁδὺ γελάσας ὡς πάρος : ὡς καὶ πρὸ τούτου ἡδὺ γελάσας.

7 128/129c τὸ ἐκ Μουσῶν ἀντὶ τοῦ διὰ τὴν μουσικὴν ᾠδήν, ἣν ἦσα. 〈 ξεινήϊον : 〉 δῶρον. GPT Πύξας : οἱ μὲν τὸν ἐν Κῷ δῆμον· οἱ δὲ τόπον, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος, ἀφ' οὗ Πύξιος λέγεται.

7 130/131b τὴν ἐπὶ Πύξας φέρουσαν ὁδὸν ἐβάδιζεν. Πύξα ὄνομα πόλεως, ἀφ' ἧς καὶ Φύξιος Ἀπόλλων καὶ Πάν.

7 130/131c UEAT 〈 Πύξα δῆμος τῆς Κῶ〉 φύξα τις ὤν· ἐκεῖθεν γὰρ ἔφυγεν Ἡρακλῆς αἴφνης ἐπιθεμένων αὐτῷ τῶν Κῴων.

7 130/131e τὰν ἐπὶ Πύξαν ἦρ χ ' ὁδόν : Πύξα δῆμος τῆς Κῶ ἢ τόπος οὕτως ὀνομαζόμενος [ἢ] παρὰ τὴν φύξιν τοῦ Ἡρακλέους τὴν ὑπὸ τῶν Κῴων γενομένην. ἁδείας : ἔξωθεν δεῖ προσλαμβάνειν τὸ παραγενόμενοι.

7 133/134a ἐπὶ στιβάδος κατεκλίθημεν ἀπὸ σχοίνου γεγενημένης καὶ ἀπὸ φύλλων ἀμπέλου. οἰναρέοισι : κυρίως τὰ φύλλα τῆς ἀμπέλου.

7 133/134c Φανίας (fgm. 37 Mueller Fgm. hist. gr. II 301) δέ φησιν οἰναρίζειν τὸ περιαιρεῖν τῶν οἰνάρων καὶ τρυγᾶν· δεῖ γὰρ καὶ οἰναρίζειν τὰς ἀμπέλους, ἐπειδὰν πεπαίνωσιν οἱ βότρυες. 〈 κελαρύζειν : 〉 τὸ μετὰ κελάδων τὴν ῥύσιν ποιεῖσθαι.

7 138a τοὶ δὲ ποτὶ σκιαραῖς : σκιὰν ποιούσαις, πολυφύλλοις. ὀροδαμνίδας δὲ παντὸς δένδρου τοὺς κλάδους λέγουσι. Μουνάτιος δὲ ἐτυμολογεῖ 'οἷον οἱ ἐν ὄρεσι θάμνοι'. αἰθαλίωνες δὲ οἱ αἰθαλώδεις διὰ τὸ αἴθεσθαι ὑπὸ τοῦ ἡλίου.

7 138c τοὶ δὲ ποτὶ σκιαραῖς ὀροδαμνίσιν : παντὸς δένδρου κλάδοι ὀροδαμνίδες λέγονται. αἰθαλίωνες : τέττιγες παρὰ τὸ αἴθεσθαι ὑπὸ τοῦ ἡλίου· καὶ γὰρ ὅταν ἐστὶ νότος καὶ καῦμα, τότε φθέγγονται.

7 139a ὀλολυγών : ἀπὸ τοῦ ὀλολύζειν. ὁ γὰρ Ἀριστοτέλης φησίν, ὅτι πάνυ ὀλολύζει τὸ ζῷον, μάλιστα ἐν τοῖς ἑλώδεσι τόποις καὶ κατὰ νύκτα. [ λαλαγεῦντες:] πολλὰ τῶν ζῴων ἀπὸ φωνῆς τὴν κλῆσιν ἔσχηκεν· ὀλολύζω ὀλολυγών, [στάζω σταγών,] ἀείδω ἀηδών, [πλάσσω πλαγγών,] τρύζω τρυγών, κοκκύζω κόκκυξ καὶ τὰ τοιαῦτα.

7 139c ἁ δ ' ὀλολυγών : ὀλολυγὼν εἶδος ὀρνέου. οἱ δὲ ζῷόν τι ἐν βορβορώδεσι τόποις μάλιστα διάγον. ἢ ἡ ἀηδών. GPT τὸ δὲ ἀκανθίδες ὄρνεα νεμόμενα ἐπ' ἀκανθῶν.

7 141a τούτων τὸ αἷμα καὶ τὸ τῶν αἰγιθάλλων μὴ μίσγεσθαί φασιν, KUEA ἀλλὰ ταῦτα διαφωνεῖν. ἀκανθίς : τὸ ὄρνεον τοῦτο ποικίλον καὶ λιγυρόν.

7 141b καλεῖται δὲ καὶ ποικιλὶς διὰ τὴν χροιάν. Ἀριστοτέλης (v. locos ad sch. a cit.) δὲ καὶ Ἀλέξανδρός (Περὶ ζῴων fgm. 22 Wellmann Herm. 26, 1891, 552) φασι διατρίβειν ἐπ' ἀκανθῶν. τοῦτο γοῦν Θεόκριτος ἀκανθίδα εἶπε. καὶ ἀκανθίδες : αἱ ἀκανθίδες ὄρνεα νεμόμενα ἐπ' ἀκανθῶν. [5]

7 141c λέγονται δὲ καὶ ἀκανθυλλίδες. εἰσὶ δὲ ποικίλαι τὴν χροιάν, ὅθεν λέγονται καὶ ποικιλίδες. φησὶ δὲ Ἀριστοτέλης (v. locos ad sch. a cit.) αἷμα αἰγίθου καὶ ἀκανθίδος μὴ μίγνυσθαι. θέρεος μάλα πίονος : μεγάλως λιπαροῦ ἢ λαμπροῦ. [5]

7 143a 〈 ὤσδεν : 〉 μεταφορικὸν τὸ ῥῆμα ἀπὸ τῶν εἰς αἴσθησιν πιπτόντων ὀσφραντικήν. πίονα εἶπε τὸν καιρὸν τοῦ θέρους διὰ τὸ ἐν αὐτῷ συλλέγεσθαι τοὺς καρπούς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

7 144 παρὰ πλευρῇσι δὲ μῆλα : καλῶς ἔφη τὰ μῆλα ταῖς πλευραῖς περικρεμάννυσθαι. τὸ γὰρ μῆλον τῆς Ἀφροδίτης καὶ τὸ ἐπιθυμητικὸν περὶ τὰ σπλάγχνα εἶναι 〈δοκεῖ〉 , τὰ δὲ σπλάγχνα παρὰ ταῖς πλευραῖς. βράβιλα τὰ κοκκύμηλα, ἤτοι Δαμασκηνά.

7 146b 〈βραβίλοισι〉 καταβρίθοντες : κοκκυμήλοις, ἤγουν Δαμασκηνοῖς. ἑπτάενες : οἱ Ἀττικοὶ τὸ ἔτος ἔνος λέγουσιν, ἄλειφαρ δὲ τὴν ἀλοιφήν.

7 147[b] ἄλειφαρ : ἤτοι ὁ ἐλαιώδης οἶνος. τετράενες δὲ πίθων : τετραετές· παρὰ Ἀττικοῖς τὸ ἔτος ἔνος.

7 147c E g GPT θαυμάσας τὴν πόσιν τοῦ οἴνου ἔστρεψε τὸν λόγον πρὸς τὰς Νύμφας καὶ πυνθάνεται αὐτῶν, εἰ αὐταὶ τὴν κρᾶσιν τοῦ οἴνου ἔχουσι.

7 148b Νύμφαι Κασταλίδες : ἀπὸ Κασταλίας τῆς ἐν Δελφοῖς κρήνης, ἔνθα καὶ διατρίβουσι. Φόλω κατὰ λάϊνον ἄντρον : οἱ μὲν τὸ Πήλιον, οἱ δὲ τὴν ἐν Ἀρκαδίᾳ Φολόην· ἐν ἀμφοτέροις γὰρ ᾤκησε Χείρων καὶ Φόλος, ὑφ’ ὧν ξενισθέντα τὸν Ἡρακλέα φασὶ πολλά.

7 149/150a 〈...〉 ὁ μέντοι οἶνος ὁ ἀοίδιμος ἐκεῖνος ὁ δοθεὶς ὑπὸ Διονύσου χαριστήριον, ἀνθ’ ὧν αὐτῷ Νάξον προσένειμεν ὁ Φόλος κρινομένῳ παρ’ αὐτῷ πρὸς τὸν Ἥφαιστον. Φόλω : Φόλου· οἱ γὰρ Δωριεῖς τὴν ου εἰς ω τρέπουσι. [5]

7 149/150b ποιεῖ δὲ τὸν Χείρωνα συνυποδεχόμενον τῷ Φόλῳ τὸν Ἡρακλέα. ἆρά γέ πᾳ τοιόνδε Φόλω : Φόλος ὄνομα Κενταύρου, ᾧ ἐπιξενωθεὶς ὁ Ἡρακλῆς οἶνον ἔπιε καλὸν ἐκ Διονύσου δοθέντα.

7 149/150c συνῆν δὲ αὐτῷ καὶ Χείρων. Ἄναπος ποταμὸς ἐν Συρακούσαις· τὸν πρὸς τῷ Ἀνάπῳ ὄντα.

7 151/152a K τὸν ποιμένα τὸν πο τ ’ Ἀνάπῳ : Ἄναπος ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας, οἱονεὶ ὁ ἄνευ πόσεως ὢν καὶ ἀβληχρὸν ἔχων ὕδωρ.

7 151/152b U g E g PT ποιμένα δὲ [καὶ] Πολύφημον τὸν Κύκλωπα λέγει, ὃς ἀντὶ λίθων ὄρη ἔβαλλεν ἢ τοὺς ἐν τοῖς E g PT ὄρεσι λίθους.

7 151/152d λᾶας ἔβαλλε : τοὺς ἐν τοῖς ὄρεσι λίθους, ὡς Δημήτριός φησι τοὺς πεπτωκότας οὐκ οἶδ’ ὅπη φιλότης. 〈 ὤρεσι λᾶας ἔβαλλε : 〉 ἀντιπτωτικῶς· τοὺς λᾶας τῶν ὀρῶν ἔβαλλε λιθάζων τὸν Ὀδυσσέα.

7 153a τοῖον νέκταρ : διὰ τὴν ἡδονὴν τὸν οἶνον εἶπε τοῦ Ὀδυσσέως. τὸ δὲ χορεῦσαι : ἐξ Εὐριπίδου μετήνεγκε τὸ χορεῦσαι τὸν Κύκλωπα.

7 154a διεκρανώσατε : κατ’ ἀντίφρασιν ἀντὶ τοῦ ἐκεράσατε, μᾶλλον ἐμεθύσατε. διεκρανώσατε : ἀποκαλυφθῆναι ἐποιήσατε.

7 154c ‘ᾦξαν καὶ θύρας, ἀπὸ δὲ κρήδεμνον ἔλυσαν‘ καθ’ Ὅμηρον (γ 392). διεκρανάσατε : διεπληρώσατε, διετελειώσατε ἢ διεκεράσατε.

7 155/156a 〈 Δάματρος ἀλῳάδος : 〉 τῆς τὰς ἀλωὰς ποιούσης· λέγεται δὲ καὶ ἀλωΐς. πὰρ Δάματρος ἁλωΐδος : ἡ Δημήτηρ παρὰ τὴν ἅλωνα ἁλωῒς λέγεται.

7 155/156c ἇς ἐπὶ σωρῷ : ὅταν δὲ λικμῶντες σωρεύωσι τὸν πυρόν, κατὰ μέσον πηγνύουσι τὸ πτύον. Καλ 〈λίμαχοσ〉 · ‘τὴν θρινάκην κατέθεντο‘. τὴν δὲ αἰτίαν εἶπεν ἐκ Τριπτολέμου. πάξαιμι μέγα πτύον : εἰώθεισαν γάρ, ὅτε ἐξέτριψαν τοὺς καρπούς, σωροὺς ποιήσαντες πτύον πήσσειν.

7 155/156d E g GPT ἡ δὲ γελάσα ι , ἤγουν ἡ Δημήτηρ.

7 155/156e K ἁ δὲ γελάσσαι : γελάσειεν, ἱλαρὰ γένοιτο.

7 155/156f L m U g E g PT δράγματα : τὴν Δήμητράν φησι μὴ μόνον ἀστάχυς, ἀλλὰ καὶ μήκωνας ἔχειν.

7 157a διὰ τοῦ ἐν ἀμφοτέραις χερσὶ τὸ δαψιλὲς ἐμφαίνει. KUEAT δράγματα : τὰ τῶν χειρῶν πληρώματα.

7 157b K μήκωνας : τοὺς σωρούς φησιν ἢ τοὺς θημῶνας.

7 157c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

E g GPT λέγεται καὶ μήκων ἡ κωδία.

7 157d G ἀμφοτέραισιν : λείπει τὸ χερσίν· μὴ γὰρ τῇ μιᾷ KL g U g E g χειρί.

3 t Αἰπολικὸν ἢ Ἀμαρυλλίς Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον τοῦτο Αἰπολικὸν ἢ Ἀμαρυλλίς.

3 arg a ἐπικωμάζει δέ τις Ἀμαρυλλίδι τοῦ ὀνόματος μὴ δηλουμένου. εἰκάσειε δ’ ἄν τις τὸν ἐπικωμάζοντα Βάττον εἶναι· τοῦτον γὰρ αἰπόλον ὄντα δι’ ἑτέρου ποιεῖ προσδιαλεγόμενον Κορύδωνι καὶ τὸν ἔρωτα, ὃν ἔσχε πρὸς τὴν Ἀμαρυλλίδα, ἐμφαίνοντα (IV 38—40). τὸ μὲν γὰρ τοῦ ποιητοῦ πρόσωπον οὐκ ἂν εἴη, ὡς ὁ Μουνάτιός φησιν ἐκ τοῦ λέγειν τὸν ἐπικωμάζοντα ‘ἦ ῥά γέ τοι σιμόσ‘ (III 8). πλανᾶται δὲ καὶ περὶ τοὺς χρόνους 〈...〉 τὰ δὲ πράγματα εἴη ἂν ἐπὶ Ἰταλίας περὶ τὴν Κρότωνα [Κρότων γὰρ πόλις Ἰταλίας]· ὅθεν καὶ τὴν Ἀμαρυλλίδα ὑποτίθεται. φέρει δὲ ὁ ἐπικωμάζων μῆλα καὶ στεφάνους δῶρα τῇ Ἀμαρυλλίδι χάριν τοῦ προστεθῆναι. ἡ δὲ οὐδὲ λόγου αὐτὸν ἀξιοῖ· διὸ καὶ δυσθυμεῖ, ὅτι οὐχ ὑπακούει, καὶ τὸν βίον οὕτω καταλῦσαι προῄρηται. τὸ δὲ εἶδος ἐπικωμαστικόν.

3 arg c λέγει δὲ ὁ Βάττος. κωμάσδω : τὸ πρόσωπον οὐκ ἔστι φανερὸν τὸ λέγον.

3 1a καὶ οἱ μέν φασιν αὐτὸν τὸν Θεόκριτον εἶναι διὰ τὸ σιμὸν καταφαίνεσθαι (v. 8 cum sch.)· οἱ δὲ Βάττον αἰπόλον τινά, ὃν ἐν τῷ Αἴγωνι εἰσάγει τῆς Ἀμαρυλλίδος ἐρῶντα KGUEAT (IV 38—40)· ἀπρεπὲς γὰρ Θεόκριτον τῆς ἀγρῴας ἐρᾶν, ὥστε καὶ ἐν ἀγρῷ διάγειν. τὸ κωμάζειν λέγεται ἐπὶ τῶν κατὰ νύκτα εἰς τὰς ἐρωμένας ἀπερχομένων.

3 1b καὶ Ἀριστοφάνης ἐν Πλούτῳ (v. 1040)· ‘ἔοικε δ’ ἐπὶ κῶμον βαδίζειν.‘ GUEAPT 〈 κωμάσδω : 〉 μετὰ ᾠδῆς καὶ μετὰ κώμου συνδιάγω, ἀπέρχομαι.

3 2a καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει : Τίτυρος ὄνομα κύριον. τινὲς δέ φασιν, ὅτι τοὺς Σειληνοὺς οὕ 〈τωσ〉 οἱ Σικελιῶται· ἄλλοι δὲ τοὺς τράγους, ἕτεροι δὲ τοὺς Σατύρους, ἔνιοι ὄνομα πόλεως Κρήτης καὶ ἄλλοι τοὺς προπόλους τῶν KGUEAT θεῶν· τινὲς δὲ καὶ κάλαμον. οὐκ ἔστι δὲ ἄλλο ἢ ὄνομα αἰπόλου τινός.

3 2b UEAT καὶ ὁ Τίτυρος : τοὺς τράγους τιτύρους λέγουσι· νῦν PT δὲ ὄνομά ἐστιν αἰπόλου κατὰ ἐμφέρειαν τοῦ χαρακτῆρος.

3 2d τὸν δὲ Τίτυρον οἱ μὲν κύριον, οἱ δὲ Σάτυρον εἶναί φασιν. ἐμὶν τὸ καλόν : διὰ τὸ κάλλος ἐμοὶ πεφιλημένε.

3 3a ἢ καλῶς ἀγαπώμενε, ὅ ἐστιν ἄξιε ἀγαπᾶσθαι. ἢ τὸ καλὸν ἀντὶ τοῦ λίαν.

3 3c ἐμὶν τὸ καλὸν πεφιλαμένε : ἡμῖν διὰ τὸ κάλλος πεφιλημένε. ἢ τὸ καλὸν ἀντὶ τοῦ καλῶς. ἢ διὰ τὸ καλὸν [ἢ διὰ τὸ καλὸς] εἶναι. καὶ ποτὶ τὰν κράναν : οὐκ ἔλαττον τῆς τροφῆς ὀνίνησι τὰ θρέμματα τὸ πιεῖν.

3 4a Ὅμηρος (Ν 493)· ‘πιόμεν’ ἐκ βοτάνης.‘ καὶ τὸν ἐνόρχαν : ἢ τὸν τέλειον ἢ ἡμιτομίαν.

3 4b Ὅμηρος (Ψ 147)· ‘πεντήκοντα δ’ ἔνορχα παρ’ αὐτόθι.‘ ἢ λάγνον.

3 5a κνάκωνα φυλάσσεο : λευκὸν ἢ πυρρὸν ἀπὸ τῆς κνήκου τοῦ σπέρματος. κνάκωνα : τὸν λευκὸν τράγον ἀπὸ τῆς κνήκου τοῦ σπέρματος λευκοῦ ὄντος.

3 5c κνῆκος εἶδος φυτοῦ, οὗ ὁ καρπὸς πυρρακίζων. μή τι κορύψῃ : οὐ περισπᾶται.

3 5d τὰ γὰρ ὑποτακτικὰ ὁμοίως ἡμῖν οἱ Δωριεῖς προφέρουσι. τὸ δὲ κορύψῃ ἀντὶ τοῦ κερατίσῃ.

3 5e τὸ γὰρ κερατίζειν κορύπτειν οἱ Ἀττικοὶ λέγουσι διὰ 〈τὸ〉 συντρέχοντας ἀλλήλοις τοὺς κριοὺς [καὶ] ταῖς κορυφαῖς πλήττειν τε καὶ ῥήγνυσθαι. κορύψῃ : κερατίσῃ.

3 5f 〈κερατίζειν〉 γὰρ κορύπτειν 〈οἱ〉 Ἀττικοὶ λέγουσι διὰ 〈τὸ〉 τοὺς κριοὺς ἀλλήλους ταῖς κορυφαῖς τύπτειν. P τὸν ἐρωτύλον : τὸν ἐρωτικὸν ὑποκοριστικῶς, οὐχ ὥς τινες κυρίως.

3 7

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παροξύνονται δὲ τὰ τοιαῦτα πλὴν τοῦ Ὄξυλος καὶ τοῦ ‘παῖδ’ ὀλοφυρομένη Ἴτυλον‘ (τ 522)· οἷον ἐρωτύλος, Αἰσχύλος, Δριμύλος, Σιμύλος. KGUEAT ἦ ῥά γέ τοι σιμός : τινὲς διὰ τὸ σιμὸς τὸν Θεόκριτόν φασι 〈κωμάζειν〉 , ἐπεὶ καὶ ἐν τοῖς Θαλυσίοις (VII 21 al.

3 8/9a ) Σιμιχίδας ὠνόμασται. πλὴν οὐκ αἰπόλος ὁ Θεόκριτος οὐδὲ Σιμιχίδας δύναται ἀπὸ τοῦ σιμὸς εἶναι, ἀλλ’ ἀπὸ ΣιKGUEAP μίχου πατρωνυμικῶς. τινὲς δὲ διὰ τὸ σιμὸς τὸν Θεόκριτον οἴονται κωμάζειν, Σιμιχίδην καλοῦντες. [5]

3 8/9c προγένειος : ὁ πολλὰς καθειμένας τρίχας ἔχων τοῦ πώγωνος, ἤτοι ὁ πολυγένειος. KU g E g ἆρα σιμὸς καὶ πολυγένειός σοι καταφαίνομαι, ὦ νύμφη; K ἡνὶ δέ τοι : ἀντὶ τοῦ ἰδού.

3 10a δασύνεται τὸ η 〈...〉 μετὰ ὀξέος τόνου· καὶ γὰρ παρὰ Ἀττικοῖς οὕτω προKGUEAPT φερόμενον. τηνῶθε : ἐξ ἐκείνου τοῦ τόπου.

3 10b οἱ γὰρ Δωριεῖς τὸ ἐκεῖνος τῆνός φασιν. ἐκέλευ : ἐκέλευσας ἦν καὶ κατὰ ἀποκοπὴν ἐκέλευ.

3 11 ἢ κέλω λέγεται τὸ προστάσσω, ὁ παρατατικὸς ἐκελόμην ἐκέλου καὶ Αἰολικῶς ἐκέλευ· οἱ γὰρ Αἰολεῖς τὴν ου εἰς ευ τρέπουσιν. θᾶσαι μάν : θέασαι δὴ τὴν λύπην, ἥτις τὴν ψυχήν μου ἀλγεῖν ποιεῖ.

3 12a ἡ μεταφορὰ ἀπὸ τῶν ὁρατῶν ἐπὶ τὰ νοούμενα. Ὅμηρος (α 115)· ‘ὀσσόμενος πατέρ’ ἐσθλόν.‘ ἢ θᾶσαί μιν ἀντὶ τοῦ ἐμοῦ.

3 13a ἁ βομβεῦσα : εὔχεται γενέσθαι μέλισσα, ἢ ἵνα κεντρίσας ἀντοδυνήσῃ ἢ ὑπὲρ τοῦ λαθεῖν εἰσελθών. μέλισσα : παρόσον ἐπὶ τῶν μήλων ἱζάνει· μῆλα δὲ πάντα τὰ ἄκρα τῶν δένδρων.

3 13b Ὅμηρος (Ι 542)· ‘αὐτῇσι ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων.‘ Ῥοῖκός τις Κνίδιος τὸ γένος ἐν Νίνῳ τῇ Ἀσσυρίων ἰδὼν δένδρον εὐφυὲς κεκλιμένον, ἀπὸ δὲ τοῦ χρόνου πίπτειν μέλλον, κάμαξιν ἐνστηρίξας ἐπὶ πλέον μένειν ἐποίησεν.

3 13c ἡ δὲ Νύμφη θεασαμένη χάριν αὐτῷ ὡμολόγησεν· ἡλικιῶτις γὰρ ἔφη εἶναι τοῦ φυτοῦ. καὶ ἐκέλευσεν αὐτόν, ὅ τι ἂν ἐθέλῃ, αἰτεῖν. ὁ δὲ τὴν συνουσίαν αὐτῆς ᾐτήσατο. ἡ δὲ ἔφη αὐτῷ, ὅτι τὸν καιρὸν τῆς μίξεως ἀφικνουμένη σοι μέλισσα προερεῖ. μήποτε οὖν μέμνηται ὁ Θεόκριτος τᾶς ἱστορίας ταύτης διὰ τὸ τὴν μέλισσαν διακονῆσαι πρὸς τὰ ἐρωτικά. 〈 τὸν κισσόν : 〉 ἀγροικικῆς γὰρ οὔσης τῆς Ἀμαρυλλίδος οἰκίας εἰκὸς καὶ κισσὸν ἔχειν ἐν ἑαυτῇ. [5]

3 14b πτέρις εἶδος βοτάνης ὁμοίας πτερῷ στρουθοκαμήλου, ἀφ’ ἧς στιβάδες ἐπὶ κλίνης τῶν ἀγροίκων γίνονται διὰ τὴν μαλακότητα καὶ διὰ τὸ ἀποδιώκειν τῇ ὀσμῇ τοὺς ὄφεις. καλεῖται δὲ καὶ βλῆχρον.

3 14c KPT 〈 πτέριν : 〉 βοτάνη συγκαμπτή.

3 14d* K g ἦ ῥα λεαίνας : οὐκ ἀφ’ ἱστορίας, ἀλλὰ διὰ τὸ ἄγριον.

3 15 καὶ γὰρ Ἀχιλλεὺς Θέτιδος καὶ Πηλέως, ἀλλὰ διὰ τὸ ἄγριόν φησιν Ὅμηρος (Π 34)· ‘γλαυκὴ δέ ς’ ἔτικτε θάλασσα‘. KGUEAT 〈 κατασμύχων : 〉 λεπτύνων, καίων, ξαίνων, U g E g τήκων.

3 18a τὸ πᾶν λίθος : ὅλη λευκὴ οἷον ἄγαλμα μαρμάρινον. ἢ σκληρὰ καὶ ἄτεγκτε ἢ μόνον οὐχὶ ἀπολιθοῦσα τοὺς ὁρῶντας τῷ κάλλει, οἷόν τί φασι καὶ περὶ Γοργόνος. τὸ πᾶν λίθος : ἤγουν σκληρὰ καὶ ἀδαμάντινε διὰ τὸ ἀνηλεὲς καὶ ἀνένδοτον ἢ μόνον οὐχὶ τοὺς προσορῶντας ἀπολιθοῦσα διὰ τὴν πρὸς τὸ κάλλος ὑπερβολὴν οἷον τὸ περὶ τὰς Γοργόνας.

3 18c εἰ δὲ γράφεται διὰ τοῦ π λίπο ς , νοητέον οὕτως· εἰς ἣν ὀλισθαίνουσι πολλοὶ διὰ τὸν ἔρωτα· ὀλισθηρὰ γὰρ τὰ λιπαρά. ἢ ἡ βλέπουσα λιπαρόν τι καὶ λευκόν· Ὅμηρος (γ 408)· ‘λευκοί, ἀποστίλβοντες ἀλοιφῇ‘. ἐὰν δὲ γράφηται λίπο ς , ἔσται· εἰς ἣν ὀλισθαίνουσι πολλοὶ τῷ ἔρωτι· ὀλισθηρὰ γὰρ τὰ λιπαρὰ χωρία.

3 18e*

γράφεται καὶ τὸ πᾶν ἔπο ς . τὸν στέφανον τῖλαι : τὸ ἑξῆς· ἤτοι κατατῖλαι τὸν στέφανον εἰς λεπτά.

3 21 στεφάνοις γὰρ ἐχρῶντο ἐν τῷ συμποσίῳ, ὥς φησιν Ἀριστοτέλης (fgm. 108 Rose, 1495b 4), εὐετηρίαν καὶ ἀφθονίαν αἰνιττόμενοι τροφῶν· στέψαι γὰρ τὸ πληρῶσαι, ὡς Ὅμηρος· ‘κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο‘. 〈 καλύκεσσι : 〉 τοῖς τοῦ κισσοῦ κορύμβοις.

3 24a ὁ δύσσοος : ὁ δυσχερῶς διωκόμενος. λαοσσόος γὰρ ἡ Ἀθηνᾶ ἡ λαὸν διώκουσα ἢ σῴζουσα. δύσσοον δὲ οἱ μὲν τὸν κακοδαίμονα, οἱ δὲ τὸν δυσχερῶς σῳζόμενον παρὰ τὸ σόος. καὶ Ὅμηρος (Α 344)· ‘ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί‘. 〈 ὁ δύσσοος : 〉 ὁ δυσχερῶς σῳζόμενος.

3 24b K g 〈 ὁ δύσσοος : 〉 ὁ δυσκίνητος ἀπὸ τοῦ δυς καὶ τοῦ σεύω τὸ ὁρμῶ.

3 24c U g E g P g Ὄλπις : ἤτοι ἐκεῖθεν ἁλοῦμαι, ὅθεν ὁ ἁλιεὺς Ὄλπις.

3 25/26a KGUEA βαίτα δὲ ἡ μηλωτή.

3 25/26b ἐτυμολογεῖται δὲ παρὰ τὸ βία καὶ τὸ αἴτης ὁ πτωχός· ἡ διὰ βίας αἱρεθεῖσα τοῦ αἴτου. G 〈 τὰν βαίταν : 〉 τὴν μηλωτήν· ἡ διὰ τῆς βίας τῶν αἰτῶν αἱρεθεῖσα.

3 25/26c U g E g τὰν βαίταν : τὴν μηλωτὴν ἢ τὴν διφθέραν, φησίν, ἀπορρίψας εἰς τὴν θάλασσαν ἐκεῖθεν ἁλοῦμαι, ὅ ἐστι πηδήσω, ὅθεν ὁ Ὄλπις ὁ ἁλιεὺς ἀγρεύει τοὺς ἰχθῦς.

3 25/26d PT Ὄλπις δὲ ἀπὸ τοῦ λέπω λόπις ὑπερθέσει τοῦο · Ὄλπις, ὁ τοὺς λεπιδωτοὺς ἰχθύας ἀγρεύων ἢ ὁ τοὺς ἔλλοπας ἀγρεύων.

3 25/26e ἔστι δὲ πεποιημένον ἢ κύριον. KGUEAPT Ὄλπις δὲ τὸ ὄνομα τοῦ ἁλιέως, ἤγουν παρὰ τὴν λεπίδα τῶν ἰχθύων.

3 25/26f ἢ παρὰ τὴν τοῦ σώματος σχέσιν· ὄλπην γάρ φασι τὴν λήκυθον, ὡς εἶναι παρὰ τὴν σμικρότητα τὸ ὄνομα. Ὄλπις ὁ τοὺς ἔλλοπας ἀγρεύων, ἵν’ ᾖ ἐπίθετον τῶν ἁλιέων.

3 25/26g ἢ κατὰ διαφορὰν τῶν ἄλλων ἁλιέων· εἰσὶ γὰρ καὶ ἕτεροι, οἱ περὶ τὰ ὄστρεα ἀσχολούμενοι. καἴκα μὴ ’ποθάνω : καὶ ἐὰν μὴ ἀποθάνω, φησίν, ὅμως εὐφρανθήσῃ, ὅτι ἔρριψα ἐμαυτόν.

3 27b τό γε μὰν τεόν : ἤγουν τό γε σὸν μέρος, ἤτοι κατὰ τὸ σὸν θέλημα, ἡδὺ τὸ θανεῖν μέ ἐστί σοι. ἢ ὅτι ὅσον περὶ σοῦ ἡδὺ τὸ θανεῖν ἐστί μοι. τό γε μὰν τεόν : τό γε σόν, ἤγουν περὶ σοῦ, ἡδὺ τὸ θανεῖν ἐστί μοι.

3 27c ἢ ὅτι ἡδύ σοί ἐστι τὸ θανεῖν με· ἡσθήσῃ γάρ, ὅτι ἐκινδύνευσα. τηλέφιλον : τὸ φύλλον τῆς μήκωνος, ὅπερ τύπτοντες ἐσημειοῦντο τὸν ἔρωτα, εἰ ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων, οἱ ἐρῶντες.

3 29b βοτάνιον δέ ἐστιν ἐν τῇ πλήξει φωνοῦν, σημαῖνον φιλεῖσθαί τινα ὑπὸ τοῦ ἐρωμένου ἢ τῆς ἐρωμένης. εἴρηται δὲ κατὰ κοινωνίαν 〈τοῦ τ 〉 πρὸς τὸ δ , οἷον δηλέφιλόν τι 〈ὄν〉 , τὸ δηλοῦν τὴν φιλίαν. ἔστι δὲ φυτάριόν τι, ὅ τινες τῶν ἐρωτικῶν τιθέντες ἐπὶ τῶν ὤμων ἢ τῶν καρπῶν ἐπικρούουσι.

3 29c καὶ ἐὰν μὲν ἐρυθρὸν 〈γένηται〉 , καλοῦντες αὐτὸ ῥόδιον νομίζουσιν ἀγαπᾶσθαι ὑπὸ τῶν ἐρωμένων, τοῦ χρώματος δ’ ἐμπρησθέντος ἢ ἑλκωθέντος μισεῖσθαι. τηλέφιλον : ῥιζίον τι θαμνῶδες, κάτωθεν δὲ ἀναβαίνει τρίκλωνον, τοὺς δὲ κλῶνας ἔχει δοχμῆς μείζονας σπιθαμιαίας.

3 29d τὰ δὲ φύλλα ἔοικε τῷ σπειρομένῳ λωτῷ. λοβὸν δὲ ἀφίησιν ἑλικοειδῆ, ἐν ᾧ τὸ σπέρμα· οὗ ἐπιχριομένου ὁ χρὼς ἐξαιμάττεται καὶ τύπους τινὰς λαμβάνει. οὐ μόνον δὲ ἐπὶ τὰς χεῖρας τὸ τηλέφιλον, ἀλλὰ καὶ ἐπὶ τὸν ὦμον τιθέντες, ἔσθ’ ὅτε καὶ ἐπὶ τὸν πῆχυν, ἀπεπειρῶντο τοῦ ψόφου. τηλέφιλον : τηλέφιλόν ἐστι τὸ φύλλον τῆς μήκωνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3 29e ἄλλοι δὲ βοτάνην ἑτέραν λέγουσιν εἶναι τὸ τηλέφιλον. εἴτε δὲ τοῦτο εἴτε ἐκεῖνό ἐστιν, ἀναλαμβάνεται παρὰ τῶν ἐρώντων τὸ τηλέφιλον, καὶ πληττόμενον εἰ ψόφον ἀπετέλει, ἐδίδου PT αὐτοῖς σημειοῦσθαι, ὅτι ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων. εἴρηται δὲ τὸ τηλέφιλον κατὰ κοινωνίαν τοῦ τ πρὸς τὸ δ , οἱονεὶ δηλέφιλον, τὸ δηλοῦν τὸν φίλον. ποτεμάξατο : προήκατο τὸν ἐξ αὐτοῦ γινόμενον ψόφον, διὰ τὸ μὴ κτύπον ποιῆσαι πρὸς τὸν πῆχυν.

3 29f KU g E g πλατάγημα : τὸ πλαταγώνιον.

3 29g ἔστι δὲ τὸ τῆς μήκωνος φύλλον, ὃ τιθέντες κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον τύπτουσι τῇ δεξιᾷ, ὥστε πλατάσσειν. ἀλ λ ’ αὔτως ἁπαλῶ : τοὺς δακτύλους καλεῖ μεταφορικῶς 〈πῆχυν—κυρίως γὰρ πῆχυς τὸ〉 ἀπὸ τοῦ ἀγκῶνος—καί φησι· πρὸς τὸν πῆχυν ἐξεμαράνθη ψόφον μὴ ποιῆσαν.

3 31a Γροιώ : τινὲς ὄνομα κύριον τὸ Γροιώ· οὐδέποτε γὰρ τὴν γραῖαν οὕτως φασί. τινὲς δὲ 〈 ἀγροι ώ , 〉 τὴν ἐπὶ τῶν ἀγρῶν τρεφομένην. ἀγροιώ : ἡ ἐπὶ τῶν ἀγρῶν.

3 31b ἢ κύριον ὄνομα. ποιολογεῦσα : ἀναλεγομένη τοὺς στάχυας.

3 32a ποίαν δὲ ἴσως τὸν πυρὸν κατ’ ἐξοχήν, ἀφ’ οὗ καὶ τὸν ἐνιαυτὸν ποίαν ἐκάλεσαν. ποία κυρίως ὁ πυρός.

3 32b ἢ ἀπὸ τοῦ ποία ἡ βοτάνη. ἡ πρὶν καλάμην συλλέγουσα καὶ σταχυολογοῦσα.

3 32d ποιολογεῦσα : ἀσταχυολογοῦσα. κυρίως δὲ ποία ὁ πυρός. παραιβάτις : ἢ ὄνομα κύριον ἢ ἡ παροδῖτις.

3 32f ἢ 〈ἡ〉 παραπορευομένη [θεὸς ἢ] ἔριθος. ἐριθακίς : μισθώτρια ὑποκοριστικῶς.

3 35a ἢ ὄνομα κύριον. ἔστι δὲ καὶ ὄρνεον, ἀφ’ οὗ τὸ ὄνομα. ἐριθακίς : ἢ ἔριθος καὶ μισθία ἢ ὄνομα κύριον.

3 35c* 〈 ἐριθακίς : 〉 ἡ περὶ τὰ ἔρια θακοῦσα. ἐνδιαθρύπτῃ : ἀπονοῇ, ἐμβλακεύῃ, σπαταλᾷς, τρυφᾷς.

3 36b 〈 ἐνδιαθρύπτῃ : 〉 ἀκκίζῃ, κενοδοξεῖς, σπαταλᾷς. 〈 ἐνδιαθρύπτῃ : 〉 ἀποσεμνύνῃ μοι ἤτοι κενοδοξεῖς.

3 37 ἅλλεται ὀφθαλμός μευ : δοκοῦσιν ὄψεσθαί τινα τῶν οἰκείων, ἂν ἅλλωνται οἱ ὀφθαλμοί [μου]. KGUEAT ἀσεῦμαι : Ἰωνικῶς λυπηθήσομαι, ἀδημονήσω· ἄση γὰρ ἡ ἀδημονία.

3 38 τινὲς δὲ ἀντὶ τοῦ πλησιάσω. K ἐντεῦθεν ἄρχεται τῆς ᾠδῆς.

3 40-42[a] U g E g Ἱππομένης : Ἱππομένης ὁ υἱὸς 〈Μεγ〉αρέως τῆς Σχοινέως Ἀταλάντης τῆς δρομαίας ἐρασθεὶς Ἀφροδίτης συνεργούσης ἔδραμεν ἐπὶ τὸν ἀγῶνα.

3 40-42b ἢ γὰρ ἔδει τὸν ἀγωνιζόμενον τῷ δρόμῳ ἡττηθέντα θνήσκειν ἢ παρελθόντα δρόμῳ KGUEAT λαμβάνειν τὴν κόρην. ἔχων οὖν παρὰ τῆς θεᾶς 〈παραγενομένησ〉 τῷ δρόμῳ μῆλα χρυσᾶ 〈ἐκ〉 τοῦ τῶν Ἑσπερίδων κήπου ἔρριπτεν ἕκαστον αὐτῶν. οὕτως 〈δὲ〉 ἀσχολουμένης τῆς κόρης περὶ τὴν τῶν μήλων συλλογήν, ἐλείφθη. λαβὼν δ’ αὐτὴν γυναῖκα μετεμορφώθη εἰς λέοντα ἐν ἱερῷ τόπῳ συνελθὼν αὐτῇ ἐγκρατὴς ἐγένετο Ἱππομένης ὁ 〈Μεγ〉αρέως τῆς Ἀταλάντης μῆλα χρυσᾶ λαβὼν παρ’ Ἀφροδίτης ἐκ 〈τοῦ〉 τῶν Ἑσπερίδων κήπου.

3 40-42d ἁ δ ’ Ἀταλάντα : δύο Ἀταλάνται εἰσίν, ἡ μὲν Ἀρκαδίας, ἡ δὲ Βοιωτίας. ἡ Σχοινέως τοίνυν θυγάτηρ Βοιωτικὴ οὖσα καὶ δρομαία προέθετο τὸν γάμον αὐτῆς, εἴ τις νικήσει αὐτὴν δρόμῳ. καὶ πολλοὺς θελήσαντας λαβεῖν αὐτὴν νικήσασα ἀνεῖλεν. Ἱππομένης οὖν λαβὼν χρυσᾶ μῆλα ἐξ Ἀφροδίτης [καὶ] παραγενομένης τῷ δρόμῳ ἔρριπτεν ἕκαστον αὐτῶν εἰς τοὐπίσω. ἡ δὲ εὐθέως περὶ τὸν ἵμερον τῶν μήλων ἐγένετο καὶ ἡττήθη, ὁ δὲ δι’ αὐτῶν ἐνίκησεν. ἡ δὲ Ἀρκαδικὴ Ἀταλάντη ἦν τοξότις δεινή. ὡς εἶδεν : ὅτε εἶδε 〈.

3 40-42e ..〉 τῶν μήλων αὐτοῦ ἐρασθεῖσα. ὡς ἴδεν , ὡς ἐμάνη : ἀντὶ τοῦ εὐθέως.

3 40-42f καὶ Ὅμηρος (T 16)· ‘ὡς ἴδεν, ὥς μιν μᾶλλον ἔδυ χόλοσ‘. ἐπιμονὴ τὸ σχῆμα καὶ ἐπανάληψις καὶ ἔστι τῆς γλυκύτητος.

3 43-45a τὰν ἀγέλαν χὼ μάντις 〈ἀ π ’ Ὄθρυος ἆγε〉 Μελάμπους : Νηλεὺς ὁ Τυροῦς καὶ Κρηθέως τὴν θυγατέρα Πειρὼ ἐκείνῳ δώσειν ἔφη γυναῖκα τῷ ἐξάξοντι τὰς KG 1 .2 U 1 .2 E 1 .2 A 1 .2 βοῦς αὐτοῦ ἀπὸ Ἰφίκλου ἐκ Φυλάκης. Βίας δὲ ὁ Μελάμποδος ἀδελφὸς ἤρα αὐτῆς σφόδρα. ὁ οὖν Μελάμπους ἐλθὼν εἰς τὴν Ἰφίκλου χώραν διὰ τὰς βοῦς ἐδεσμεύθη παρ’ Ἰφίκλου. μέλλοντος δὲ τοῦ δωματίου, ἐν ᾧ ἦν, πίπτειν μάντις ὢν προεμήνυσεν. ἐφ’ ᾧ καταπληχθεὶς ὁ Ἴφικλος ἔλυσεν. ἄγονον δὲ ὄντα τὸν Ἴφικλον ποιήσας γόνιμον ἔλαβε τὰς βοῦς τρόπῳ τοιῷδε (sequitur sch. c). τὰν ἀγέλαν χὼ μάντις ἀ π ’ Ὄθρυος : Νηλεὺς ἔχων θυγατέρα Πειρὼ οὐκ ἐδίδου αὐτήν τινι γυναῖκα εἰ μὴ τῷ συντιθεμένῳ ἀγαγεῖν αὐτῷ τὰς Ἰφίκλου βοῦς.

3 43-45b Μελάμπους δὲ θέλων τῷ οἰκείῳ ἀδελφῷ Βίαντι τὴν κόρην δοῦναι τὸν κίνPT δυνον ὑπέστη. συλληφθεὶς δὲ ὑπὸ τῶν βουκόλων τοῦ Ἰφίκλου ἐν φυλακῇ ἐβλήθη. καὶ ἐκεῖ ὢν ἤκουσε λεγόντων τῶν σκωλήκων ἐλάχιστον εἶναι τὸ περιττεῦον τῆς δοκοῦ εἰς διάβρωσιν καὶ προμηνύσας τῷ Ἰφίκλῳ τὴν τοῦ δόμου πτῶσιν ἐθαυμάσθη ὑπ’ αὐτοῦ. καὶ ἤρετο αὐτὸν ὡς μάντιν, πῶς ἂν παῖδας ποιήσῃ. ἄτεκνος γὰρ ἦν ἐκ τοιαύτης αἰτίας (sequitur sch. c). Φυλάκῳ τῷ πατρί, ἀφ’ οὗ καὶ ἡ χώρα Φυλάκη ἐκαλεῖτο, ἐκτέμνοντι ὁ Ἴφικλος παῖς ὢν παρίστατο· ὃν ἐκπλῆξαι ὁ πατὴρ θέλων ἣν εἶχε μάχαιραν εἰς τὸ πλησίον δένδρον ἐμπῆξαι ὥρμησε, καὶ συνέβη ἐπενεγκεῖν αὐτὴν τοῖς μορίοις τοῦ παιδός.

3 43-45c ἐπεὶ δὲ ἄγονος ἦν ὁ Ἴφικλος, εὑρὼν ὁ Μελάμπους τὴν μάχαιραν ἐκέλευσε τὸν ἰὸν ἀποξέσαντα πίνειν. καὶ οὕτως αὐτὸν πατέρα ἐποίησε καὶ λαβὼν τὰς βοῦς διὰ τούτων τῷ ἀδελφῷ Βίαντι τὸν τῆς Πειροῦς γάμον περιεποιήσατο. ἡ ἱστορία παρὰ Ἀπολλωνίῳ (Argon.

3 43-45d I 118—121 cum sch.). χὼ μάντις ἀ π ’ Ὄθρυος : καὶ ὁ Μελάμπους ἦγε τὴν Ἰφίκλου ἀγέλην Νηλεῖ εἰς Πύλον, ἵνα ἄγηται τῷ ἀδελφῷ τὴν Πειρώ, ἥτις ἔτεκεν Ἀλφεσίβοιαν, μητέρα Μελάμποδος ἴσως ἑτέρου.

3 43-45f* ἀ π ’ Ὄθρυος : οἱ μὲν πόλεως ὄνομά φασιν εἶναι τὸ Ὄθρυς, οἱ δὲ τὴν φυλακήν. ἤγουν· ἀπὸ τῆς φυλακῆς, ἐν ᾗ ἐφυλάσσοντο οἱ βόες, ἢ ἀπὸ τῆς πόλεως, ἐν ᾗ ἦσαν. Μελάμπους δὲ ἐκλήθη, ὅτι γεννηθεὶς ἐξετέθη παρὰ τῆς μητρὸς Ῥοδόπης ἐν ὑλώδει τόπῳ, παντὸς δὲ τοῦ σώματος σκεπομένου μόνους ἦν γυμνὸς τοὺς πόδας καὶ ἐξεκαύθη ὑπὸ τοῦ ἡλίου.

3 43-45g διὰ τοῦτο Μελάμπους ἐκλήθη. Ἀλφεσιβοίης : Αἰόλου τοῦ Ἕλληνος Σαλμωνεύς, ἐξ οὗ Τυρώ, ἐξ ἧς καὶ Κρηθέως Νηλεύς, ἐξ οὗ Πειρώ, ἐξ ἧς Ἀλφεσίβοια.

3 43-45h KGUEAPT 〈 Κυθέρειαν : 〉 τὴν Ἀφροδίτην παρὰ τὸ αἰτίαν εἶναι τοῦ κύειν.

3 46* U g E g ὥσ τ ’ οὐδὲ φθίμενόν νιν : ὥστε οὐδὲ τελευτήσαντα τὸν Ἄδωνιν τοῦ ἰδίου αὐτῆς μαστοῦ χωρίζει, ἀλλ’ ἀεὶ αὐτῷ καὶ τελευτήσαντι συμπάρεστι.

3 48a δοκεῖ δὲ ὁ Ἄδωνις ἓξ μῆνας παρὰ Περσεφόνῃ ποιεῖν, ὁμοίως δὲ καὶ παρὰ Ἀφροδίτῃ. 〈 ἄτερ μαζοῖο : 〉 ἄνευ τοῦ συγκαθεύδειν καὶ προσστερνίζεσθαι.

3 48c ὥσ τ ’ οὐδὲ φθίμενόν νιν : δοκεῖ γὰρ ὁ Ἄδωνις ἓξ μὲν μῆνας παρὰ Περσεφόνῃ, ἓξ δὲ παρὰ Ἀφροδίτῃ εἶναι. P λέγεται δὲ περὶ τοῦ Ἀδώνιδος, ὅτι καὶ ἀποθανὼν ὁ Ἄδωνις ἓξ μῆνας ἐποίησεν ἐν ταῖς ἀγκάλαις τῆς Ἀφροδίτης, ὥσπερ καὶ ἐν ταῖς ἀγκάλαις τῆς Περσεφόνης.

3 48d τοῦτο δὲ τὸ λεγόμενον τοιοῦτόν ἐστιν ἀληθῶς· ὅτι ὁ Ἄδωνις ἤγουν ὁ GUEAPT σῖτος ὁ σπειρόμενος ἓξ μῆνας ἐν τῇ γῇ ποιεῖ ἀπὸ τῆς σπορᾶς καὶ ἓξ μῆνας ἔχει αὐτὸν ἡ Ἀφροδίτη, τουτέστιν ἡ εὐκρασία τοῦ ἀέρος· καὶ ἔκτοτε λαμβάνουσιν αὐτὸν οἱ ἄνθρωποι. ὁ τὸν ἄτροπον : ἄτρεπτον, ἀμετακίνητον, αἰώνιον καθεύδων ὕπνον.

3 49-51a

φασὶ γάρ, ὡς Ἐνδυμίωνος ἠράσθη ἡ Σελήνη κατὰ τὸ Λάτμιον ὄρος τῆς Καρίας κυνηγετοῦντος. φιλοκύνηγος δὲ ὢν ἡμέρας ὕπνωττε, κατὰ τὰς νύκτας δὲ λαμKGUEAT πούσης τῆς Σελήνης ἐθήρευε διὰ τὸ τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐξιέναι. οὕτως Νίκανδρος (cf. fgm. 24 Schneider in sch. Apoll. infra cit.). μακαρίζω, φησί, διὰ τὸ ἐκεῖνον μὲν φιλεῖσθαι ὑπὸ Σελήνης, ἐμὲ δὲ ὑπὸ σοῦ μισεῖσθαι. Ἐνδυμίων παρὰ τοῖς θεοῖς διατρίβων ἠράσθη Ἥρας.

3 49-51b ἐφ' ᾧ χαλεπήνας ὁ Ζεὺς ἐποίησε διαπαντὸς καθεύδειν ἀθάνατον, τὸ δὲ ἄντρον, ἐν ᾧ ἐκάθευδεν, ἐν Λάτμῳ τῆς Καρίας. ζαλωτὸς μέν : Ἐνδυμίωνος ἠράσθη Σελήνη καὶ κατὰ τὸ ὄρος τὸ Λάτμιον τῆς Καρίας κυνηγετοῦντι ἐμίγη· καὶ ἀλληγοροῦσιν, ὡς 〈.

3 49-51c ..〉 φιλοκύνηγος ὢν τῇ Σελήνῃ συνεθήρα νυκτός, ἡμέρας δὲ ὕπνωττεν. PT Ἰασίωνα : Ἰασίων ὁ Κρής, Κρήτης βασιλεύς, υἱὸς ἦν Μίνωος καὶ Φρονίας νύμφης.

3 49-51d τούτῳ ἐν λειμῶνι κοιμωμένῳ ἡ Δημήτηρ συνῆλθε καὶ ἔτεκε τὸν Πλοῦτον. KGUEAPT βέρβαλοι : ἀμύητοι, ἀμυστηρίαστοι, μυστήρια μὴ ἔχοντες.

3 49-51e παρεμφαίνει δὲ μυστικὸν τὸν ἔρωτα Ἰασίωνος καὶ Δήμητρος. KGUEAT τὰν κεφάλαν : ὡς ἡμέραν.

3 52 πολλὰ γὰρ 〈Αἰολικὰ〉 σῴζεται παρὰ Συρακουσίοις. ὡς μέλι τοι : ὅπως τοῦτό σοι ὡς μέλι γλυκὺ κατὰ βρόχθοι ο , τουτέστι τοῦ φάρυγγος, γένηται.

3 54a KGUEAPT ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο : βρόχθος λέγεται τὸ ἐπίλακκον μέρος, τὸ μετὰ τὸν τράχηλον, ποιὸν ἦχον ἀποτελοῦν.

4 t Νομεῖς 〈Ἐπιγράφεται〉 τὸ εἰδύλλιον τοῦτο 〈Αἰπολικὸν καὶ〉 Βουκολικόν.

4 arg a ἔστι Βάττος μὲν αἰπόλος, Κορύδων δὲ βουκόλος, οἳ πρὸς ἀλλήλους διαλέγονται ἀμοιβαίως. ὑποτίθεται δὲ τὸν Κορύδωνα βοῦς νέμοντά τινος Αἴγωνος, ὅν φησιν εἰς Ὀλυμπίαν ὑπὸ Μίλωνος τοῦ παλαιστοῦ ἀπαχθῆναι λίαν ἰσχυρὸν ὄντα, ὅπως ἀγωνίσηται· τὸν δὲ Βάττον ταῦτά τε πυνθανόμενον καὶ λέγοντα, ὅτι κακοῦ ἔτυχον αἱ βόες βουκόλου καί εἰσι λεπταί. τὰ δὲ πράγματα ἐν Κρότωνι τῆς Ἰταλικῆς ὑπόκεινται. Βάττος αἰπόλος καὶ Κορύδων βουκόλος ἀμοιβαίως πρὸς ἀλλήλους διαλέγονται.

4 arg b τὰ δὲ πράγματα ἐν Κρότωνι τῆς Ἰταλικῆς. αἱ δὲ βόες Αἴγωνος· οὗτος πεπόρευται Ὀλύμπια μετὰ Μίλωνος ἀγωνιούμενος. οὐ πάντως δὲ ὁ Θεόκριτος γέγονε κατὰ τοὺς αὐτοὺς χρόνους τῷ Μίλωνι, ἐπεὶ μέμνηται αὐτοῦ, ἀλλ' K 1.

4 arg c 2 GUEAT ἔστι πολὺ νεώτερος, εἴγε ὁ Μίλων τὴν ξ′ πάλην νικᾷ παίδων, ὁ Θεόκριτος δέ, ὥσπερ ἐδείξαμεν (cf.

4 arg d arg. III a cum adn.), κατὰ τὴν ρκδ′ Ὀλυμπιάδα ἤκμαζεν. ἀρχαιότερος οὖν ὁ Μίλων· μέμνηται δὲ αὐτῶν τῶν πραγμάτων.

4 arg e KGUEAPT ἦ πᾳ ψε : τὸ ψε οἱ Δωριεῖς ἀντὶ τοῦ σφε· ἤτοι ἦπού σφε, τουτέστιν ἦπου αὐτὰς ἐφ' ἑσπέρας πάσας ἀμέλγεις; KGUEA εἰώθασι γὰρ οἱ νομεῖς μετὰ τὸ τοῖς δεσπόταις ἀμέλξαι τὸ γάλα ὕστερον καὶ ἑαυτοῖς λάθρα ἀμέλγειν.

4 3b KGUEAT ἦ πᾳ ψε : ἦπου αὐτάς· τὸ γὰρ ψε ἀντὶ τοῦ σφε Δωρικῶς.

4 3c PT ὑφίητι τὰ μοσχία : πῶς, φησί, δύναμαι ἀμέλγειν λάθρα, ὅπου γε ὁ πατὴρ τοῦ Αἴγωνος ὑποβάλλει τὰ ἴδια; KGUEAT ἀλ λ ' ὁ γέρων ὑφίητι : ὑφίησιν, ὑποβάλλει.

4 4b ὁ δὲ γέρων οὗτος τάχα ἂν εἴη 〈ὁ〉 πατὴρ τοῦ Αἴγωνος. PT 〈 ὑφίητι : 〉 καλλίστως τέθειται τὸ ὑφίησιν ἀντὶ τοῦ ὑποκάτω βάλλει.

4 4[c] P m μοσχία τοὺς ὑπομαζίους μόσχους φησί.

4 4[d]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

U g E g αὐτὸς δ ’ ἐς τί ν ’ ἄφαντος : ὁ δὲ βουκόλος, φησίν, εἰς τίνα χώραν ᾤχετο ἀφανὴς γενόμενος ἤδη; οὐκ ἄκουσας : οὐκ ἀναγέγραπται ὁ Αἴγων νενικηκὼς Ὀλύμπια.

4 6b ἐ π ’ Ἀλφειόν : ἀντὶ τοῦ ἐπὶ τὴν Ὀλυμπίαν· παραρρεῖ γὰρ αὐτὴν ὁ Ἀλφειός. Μίλων : τὸν Κροτωνιάτην Μίλωνά φησιν, ὃν καὶ Ἀριστοτέλης (fgm.

4 6c 477 Rose, 1556b 3—9) πολυφάγον φησί. λέγουσι δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. ἐβρώθη δὲ ὑπὸ κυνῶν· ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βαλόντας μέσον τοῦ ξύλου, θέλων ἐκβαλεῖν αὐτὸς τὸν σφῆνα ἐκρατήθη ἐκεῖ καὶ οὕτως ἐτελεύτησε. καὶ πόκα τῆνος : καὶ πότε ἐκεῖνος ἔλαιον εἶδεν, ὃ κατὰ τὰ γυμνάσια ἀλείφονται; ἥκιστα γὰρ οἱ ἀγροῖκοι ἐλαίῳ χρῶνται.

4 7a οὐχ ὥς τινες ἀναγινώσκουσιν ἐλαιό ν , ὡς ἀραιόν, ἵν’ ᾖ σημαῖνον τὸ ἀγριέλαιον, ἐξ οὗ ὁ Ὀλυμπιακὸς στέφανος σύγκειται. ἀγνοοῦσι γάρ, ὅτι ὁ Ὀλυμπιακὸς στέφανος ἐκ τῆς καλλιστεφάνου ἐλαίας λεγομένης δίδοται, ἥτις 〈...〉 ἀπέχει σταδίων ὀκτώ, ὥς φησιν Ἀριστοτέλης (De mir. ausc. 51, 834a 12). τινὲς ἐλαιὸν ὀξυτόνως ἐκδεχόμενοι τὸν ἐξ ἀγριελαίας στέφανον οὕτως καλοῦσι.

4 7b GUEAT ἔλαιον ἐν ὀφθαλμοῖσιν : ἔλαιον, [ἐν] ᾧ οἱ ἀγωνιζόμενοι ἀλείφονται.

4 7c ἢ ἔλαιον τὸ ἀγριέλαιον, ὅ ἐστι κότινον, ᾧ οἱ νικήσαντες στεφανοῦνται. κάρτος ἐρίσδεν : γράφεται κάλλο ς , καὶ ἔστι κάλλιον, ἵνα μὴ διττολογήσῃ βίην καὶ κάρτος λέγων.

4 9 ἔφα θ ’ ἁ μάτηρ : τοῦτο ἀμφίβολον· ἢ τὸν Αἴγωνα ἔφη κρείττονα εἶναι τοῦ Πολυδεύκους ἢ ἐμέ. K σκαπάναν : δίκελλαν ἢ ἄμην· οἱ γὰρ γυμνασταὶ τούτοις ἐχρῶντο ὑπὲρ γυμνασίας, τῇ σκαπάνῃ σκάπτοντες καὶ τὰ ἄνω μέρη τοῦ σώματος ἀναρρωννύντες [οἱ ἀθληταί].

4 10a KGUEAT κῷχε τ ’ ἔχων σκαπάναν : σκαπάνη ἐστὶ σκαφίον, ὃ οἱ Ἀττικοὶ ἄμην λέγουσι.

4 10b χρῶνται δὲ αὐτῷ πάντες μὲν οἱ ἀθληταί, μάλιστα δὲ οἱ πύκται. PT εἴκοτι τουτόθι μῆλα : θρέμματα.

4 10c λέγει δὲ τούτων KGUEAT τὰ κρέατα, ἵνα ἔχῃ κρεωφαγεῖν. ὅτι δὲ μῆλα οὐ μόνον τὰ πρόβατα, ἀλλὰ καὶ πάντα τὰ θρέμματα, λέγει Ὅμηρος (P 550)· ‘ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει‘· οἱ γὰρ ἀρχαῖοι βοείοις ἐχρῶντο κρέασιν. μῆλα δὲ τὰ πρόβατα.

4 10d ἐκ δὲ τούτου τὰ κρέατά φησιν, ἵν’ ἔχῃ τρώγειν. τουτόθι μᾶλα : ἐντεῦθεν μῆλα.

4 10e αὐτὸν δὲ τὸν καρπὸν τῶν μήλων λέγει, καθὰ καὶ Μίλων ῥοιὰν ἔχων ἠγωνίζετο. τὸ λυσσᾶν ἴδιον τῶν κυνῶν· ἀλλ’ ἴσως λέγει, ὅτι πείσει καὶ τοὺς λύκους τὸ παρὰ τὴν συνήθειαν ὑπομεῖναι.

4 11a φησὶν οὖν, ὅτι καὶ τοὺς λύκους ἐκμήναι ἂν ὁ Μίλων, ὅπου γε καὶ τὸν Αἴγωνα τὸν ἀγροῖκον ἐπὶ τὸν ἀγῶνα ἀποδύσασθαι ἠνάγκασεν. πεῖσαι τοι Μίλων : καὶ τοὺς λύκους τὰ τῶν κυνῶν ἤθη ἀπομάξασθαι καὶ λυσσᾶν πείσει ὁ Μίλων, ἐπεὶ ἐργάτην ἀθλῆσαι ἔπεισε.

4 11c 〈 λυσσᾶν : 〉 ἤγουν τὰ τῶν κυνῶν ἤθη ἀναδέξασθαι. δαμάλαι : αἱ νέαι βόες αἱ εἰς τὸ δαμασθῆναι ἐπιτήδειαι.

4 13 ὡς κακὸν εὗρον τὸν βουκόλον, τὸν Αἴγωνα, διότι κατέλιπεν αὐτάς. λῶντι νέμεσθαι : καὶ οὐκέτι θέλουσι νέμεσθαι, δηλονότι ζητοῦσαι τὸν Αἴγωνα.

4 15 τᾶς πόρτιος : πόρτιας τὰς ἀκμαζούσας βοῦς, ἐφ’ ἃς οἷόν τε τοὺς ταύρους πορεύεσθαι, ὅ ἐστιν ὀχεύεσθαι· ἢ τὰς ἐν τῷ πόρῳ, τουτέστιν ἐν τῇ ὁδῷ, ἰούσας. πρῶκας : τὴν σταγόνα τῆς δρόσου.

4 16a Καλλίμαχος (H. Apoll. 40sq.)· ‘ὥς κεν ἐκεῖναι πρῶκες ἔραζε πεσοῦσαι.‘ 〈...〉 ‘προίκιον ἐκδακερος εἶδαρ ἔδων‘ (Callimachi fgm. 542 Schneider, II 683). μὴ πρῶκα σιτίζεται : πρὼξ εἶδος βοτάνης, ἥτις ἀναφύει ἅμα τῷ φανῆναι τοὺς τέττιγας.

4 16[b] λέγεται δὲ πρὼξ καὶ ἡ δρόσος. PT 〈 πρῶκας : 〉 πρωϊνὴν δρόσον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4 16c K g πρὼξ ἡ δρόσος ἀπὸ τοῦ πρωΐ πέμπεσθαι.

4 16d E g 〈 οὐ Δᾶν : 〉 οὐ μὰ τὴν Γῆν· οἱ γὰρ Δωριεῖς τὸ γ εἰς δ τρέπουσιν.

4 17[a] U g E g Αἴσαρος ποταμὸς παραρρέων τὴν Κρότωνα.

4 17b ἔστι KGUEAT δὲ καὶ ἄλλος, ποταμὸς Σικελίας. ἐ π ’ Αἰσάροιο : Αἴσαρος ποταμὸς διὰ μέσης τῆς πόλεως τῶν Κροτωνιατῶν ῥέων εἰς τὴν θάλασσαν.

4 18a κώμυθα δίδωμι : κώμυς ἡ δέσμη, ὡς Κρατῖνος (fgm. 299 Kock Com. att. fgm. I 99 )· ‘ὁ δὲ μετ’ Εὐδήμου τρέχων κώμυθα τὴν λοιπὴν ἔχων τῶν πρωων‘. κώμυθα : τὸ δεμάτιον.

4 19a σκαίρειν κυρίως τὸ σκιρτᾶν, ἀφ’ οὗ καὶ σκάρις· νῦν δὲ τὸ νέμεσθαι. ἔνθεν καὶ σκαρθμὸς ὁ ποὺς παρ’ Ἀράτῳ (Phaen. 281). Λάτυμνον : τῆς Λακωνικῆς ὄρος 〈ἢ〉 περὶ Κρότωνα.

4 19c Λάταμνον : ὄρος Κρότωνος. βαθύσκιον δὲ τὸ ἄγαν σύνδενδρον. γράφεται δὲ καὶ βαθύσχινο ν . ὁ πύρριχος : τινὲς παροξυτόνως πυρρίχος.

4 20-22a ἔστιν οὖν ὑποκοριστικὸν Αἰολικόν· τὸ γὰρ καθ’ ἡμᾶς, πύρριχος [ὀσκάριος]. τινὲς δὲ πύρριχον Ἠπειρωτικὸν ἤκουσαν ἀπὸ Πύρρου τοῦ ἐκεῖ βασιλεύσαντος· δοκοῦσι δὲ οἱ βόες ἐκεῖνοι λείψανον εἶναι τῶν Γηρυονείων. πύρριχος δὲ κατά τινας ὁ εὐκίνητος ἀπὸ τοῦ πυρὸς εὐκινήτου ὄντος. [5]

4 20-22b τινὲς δὲ τὸν πυρρὸν κατὰ τὴν χροιὰν ὀνομάζουσιν. GUEAT κακοχράσμων γὰρ ὁ δᾶμος : τῶν Λαμπριαδῶν δηλονότι.

4 20-22c ὡς δυσμενῶς ἔχων ὁ Βάττος πρὸς τοὺς φυλέτας τοὺς Λαμπριάδας φησίν· εἴθε, ὅταν θύωσι τῇ Ἥρᾳ οἱ δημόται τοῦ Λαμπριάδου καὶ κρέα νέμωνται, τοιοῦτον λαχόντες KUEAT θύσαιεν, ἵνα μὴ προσδεχθῇ αὐτῶν ἡ θυσία ὑπὸ τῆς θεοῦ— ἢ ἵνα μὴ προσδεχθῇ ὑπὸ τῶν φυλετῶν τὸ θῦμα— καὶ ζημιωθῇ [ὁ Λαμπριάδης] ὁ δῆμος, ὡς κακούργου 〈καὶ〉 λοιδόρου ὄντος τούτου τοῦ δήμου—ἢ ὁ Λαμπριάδης, ἐξ οὗ ὠνομάσθη ὁ δῆμος. τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται : ὁ τῶν Λαμπριαδῶν δῆμος ἀπό τινος Λαμπρίου. [5]

4 20-22d εἴθε, φησίν, ὅταν θύωσιν οἱ Λαμπριάδαι τῇ Ἥρᾳ, τοιοῦτον θύσαιεν, ἵνα μὴ προσδεχθῇ αὐτῶν ἡ θυσία ὑπὸ τῆς Ἥρας. κακοχράσμων : ἢ ὁ ταῦρος ἢ ὁ δῆμο ς , ἀντὶ τοῦ κακὸς εἰς χρῆσιν· ἦν γὰρ τάχα κερατιστής.

4 20-22e τοῦτο δέ φησι διὰ τὸ εἶναι αὐτὸν λεπτόν. 〈 κακοχράσμων : 〉 πονηρός, δύστροπος.

4 20-22g κακοχράσμων : δύστροπος, δύσχρηστος, δυσάρεστος. ἐς στομάλιμνον : τὰς εἰς θάλασσαν ἐστομωμένας λίμνας οὕτως φασί.

4 23a καὶ τὴν ἐν Τροίᾳ δὲ Στομαλίμνην πιθανὸν διὰ τοῦτο ὠνομάσθαι. ἐς στομάλιμνον : εἰς στόμα λίμνης ὃν περὶ τὴν Κρότωνα.

4 23b λέγουσι δὲ καὶ τὰς εἰς θάλασσαν ἐστομωμένας λίμνας. ἔς τε τὰ Φύσκου : ὡς τοῦ Φύσκου ὄρους νομὰς ἐπιτηδείας τοῖς βουσὶν ἔχοντος.

4 23d [ τᾷ Ἥρᾳ τοιόνδε:] ἰστέον ὅτι νομὰς εἶχεν οὗτος ὁ τόπος καὶ βουσὶν ἐπιτηδειοτάτας. τὰ Φύσκω : Φύσκος ὄνομα τόπου.

4 24a Νήαιθος ποταμὸς Κρότωνος. ὠνόμασται δέ, παρόσον ἐν αὐτῷ νῆάς ποτε λέγουσι κατακαῆναι Ἑλληνικάς. Νήαιθος ὄνομα τόπου ἀπὸ τοῦ ναῦς καὶ τοῦ αἴθω τὸ καίω, ἐν ᾧ πολλαὶ νῆες τῶν Ἑλλήνων ἐφθάρησαν.

4 25a αἰγίπυρος : ἀκανθῶδες φυτόν. κνύζα : κόνυζα· φυτὸν χορτῶδες, ὃ αἱ Θεσμοφοριάζουσαι διὰ τὴν ἁγνείαν στιβαδοποιοῦνται.

4 25b δοκεῖ γὰρ ἡ βοτάνη ψυκτικὴ οὖσα ἐπέχειν τὰς πρὸς συνουσίαν ὀρέξεις. νόμος τοῖς Ἀθηναίοις κατ’ ἔτος τελεῖν τὰ Θεσμοφόρια.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4 25[c] εἰσὶ δὲ τὰ Θεσμοφόρια τοιαῦτα· παρθένοι γενναῖαι καὶ τὸν βίον σεμναὶ κατὰ τὴν ἡμέραν τῆς τελετῆς τὰς νομίμους βίβλους καὶ ἱεράς, ὡς ἐδόκει τοῖς Ἀθηναίοις, ὑπεράνω τῶν αὐτῶν PT κορυφῶν [τὰς βίβλους] ἀνετίθεσαν καὶ ὡσανεὶ λιτανεύουσαι ἀπήρχοντο εἰς Ἐλευσῖνα. ἡ δὲ Ἐλευσίς ἐστι λιμὴν τῆς Ἀττικῆς. ἡ δὲ μελίτεια εἶδος βοτάνης· τὸ δὲ φύλλον ἔχει πλατὺ ὥσπερ φακόν. [5]

4 25d ἔστι δὲ γλυκίζουσα, εἰς ἕλκη φλεγμαίνοντα ἀγαθή. K 1.2 G 1.2 U 1.2 E 1.2 A 1.2 T 1.2 μελίτεια : βοτάνη γλυκίζουσα, σισυμβρίῳ ἐμφερής.

4 25e PT φεῦ φεῦ : προείρηται, ὅτι κωμικὴ ἡ διασκευή· οὐκοῦν ἀκολούθως εἴρηται καὶ κωμικοῖς ἁρμόζον καὶ τραγικοῖς.

4 26a KGUEAT βασεῦνται : βήσονται.

4 28a παλύνεται : μολύνεται, ὑπὸ εὐρῶτος λευκαίνεται. πάλην γὰρ ἔλεγον τὸ λεπτότατον τοῦ ἀλεύρου, παρὸ καὶ φάλιον λέγεται τὸ λευκόν· ‘εἰδυῖαν φάλιον ταῦρον‘ (Callimachi KGUEAT fgm. 176 Schneider, II 435). λευκαίνεται τοῖς ὑπὸ τῶν εὐρώτων γινομένοις ἀλεύροις ἐν τῷ ἐσθίεσθαι τοὺς καλάμους.

4 28c εὐρῶτι παλύνεται : εὐρὼς κυρίως ἡ πρασινώδης ὁμίχλη. ἐπάξα : τὸ β′ πρόσωπον τοῦ μέσου ἀορίστου οἱ Συρακούσιοι διὰ τοῦ α προφέρονται· ἐνοήσω ἐνοήσα, ἐγράψω ἐγράψα· ὁμοίως καὶ τὸ ἐπάξα ἀντὶ τοῦ ἐπήξω.

4 29/30a τήνα : οὐκ ἐφθάρη, φησίν, ἡ σῦριγξ οὐδὲ μεμόλυνται, μὰ τὰς Νύμφας, ἐπεὶ ὁ Αἴγων ἀπιὼν εἰς τὴν Ὀλυμπίαν ἐμοὶ δῶρον αὐτὴν καταλέλοιπε· δυνατὸς γάρ εἰμι μελῳδεῖν. ποτὶ Πῖσαν : ἡ νῦν Ὀλυμπία, ἀπὸ Πίσου τοῦ Ἀφαρέως ἢ ἀπὸ Πίσης τῆς Ἐνδυμίωνος θυγατρός.

4 29/30c Πῖσα τόπος ἐν Ὀλυμπίᾳ, ἔνθα καὶ Πισαίου Διὸς ἱερόν ἐστι. μελιγκτάς : τραγῳδητής· μελίζω γὰρ τὸ τραγῳδῶ.

4 31a Γλαύκας : ἡ Γλαύκη Χία τὸ γένος, κρουματοποιός. γέγονε δ’ ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου· ἧς φησι Θεόφραστος ἐρασθῆναι κριόν.

4 31b ὁ δὲ Πύρρος Ἐρυθραῖος ἢ Λέσβιος, μελῶν ποιητής. τὰ Πύρρω : οὗτος ὁ Πύρρος ποιητὴς ἦν Ἐρυθραῖος, ὥς φησι Λυγκεύς.

4 31d ἐγένετο δὲ κατόπιν Φιλοξένου τοῦ διθυραμβοποιοῦ. GUEA 〈 ἀγκρούομαι : 〉 ἀναβάλλομαι, ἀπὸ κοινοῦ.

4 31e K g 〈 ἀγκρούομαι : 〉 ἀντὶ τοῦ ἀνακρούομαι, ἀναβάλλομαι, προοιμιάζομαι.

4 31f P m τάν τε Κρότωνα : Ἀλκίνοος καὶ Κρότων Φαίακος υἱοί· καὶ ὁ μὲν ἐβασίλευσε τῶν Κερκυραίων, ὁ δὲ τὴν ἐν Σικελίᾳ ἔκτισε Κρότωνα.

4 32a KGUEAT 〈 καλὰ πόλις ἅ τε Ζάκυνθος : 〉 οὐκ ἐκτείνει ἐνταῦθα τὸ ζ .

4 32[b] διὰ μέσου τοῦτο. ἀῷον : [ἀῷον] τὸ ἀνατολικόν.

4 33a KG Λακίνιον δὲ τὸ ἀκρωτήριον ἀπό τινος Λακίνου Κερκυραίου τοῦ ὑποδεχομένου Κρότωνα φεύγοντα.

4 33b διέφερε δὲ ἡ Κρότων τῶν ἐπὶ Ἰταλίᾳ πόλεων εὐανδρίᾳ καὶ τῇ λοιπῇ εὐδαιμονίᾳ· σαφὲς δὲ ἐκ τούτου καὶ εἰς παροιμίαν ἐλθεῖν· KGUEAT ‘μάταια τἆλλα παρὰ Κρότωνα τἄστεα‘. καὶ τὸ πο τ ’ ἀῷον : τὸ πρὸς ἀνατολὰς τῆς Κροτωνιάδος. [5]

4 33c τὸ δὲ Λακίνιον ἀκρώρειά τίς ἐστιν, ἔχουσα ἱερὸν Ἥρας. Αἴγων ὀγδώκοντα : εἰς Αἴγωνα μετήνεγκε τὰ περὶ τοῦ Μιλησίου Ἀστυάνακτος ἱστορούμενα.

4 34-36a φασὶ γὰρ τοῦτον Ἴσθμια νικήσαντα καὶ οἴκοι παραγενόμενον ἐκ τῆς ἰδίας ἀγέλης τοῦ μεγίστου λαβέσθαι βοὸς τῆς χηλῆς καὶ μὴ ἀνεῖναι, ἕως ὁ ταῦρος ἐλευθερῶν τὸ σῶμα τῇ βίᾳ κατέλιπε τὴν

ὁπλὴν ἐν τῇ χειρὶ αὐτοῦ. ὁπλὴν δὲ λέγει τὴν χηλήν. Ἡσίοδος (Op. et D. 489)· ‘οὐθ’ ὑπερβάλλει βοὸς ὁπλὴν οὔτ’ ἀπολείπει‘. ᾇπερ ὁ πύκτας Αἴγων : ταῦτα οὐκ ἐπὶ Αἴγωνι ἱστόρηται, ἀλλ’ ἐπὶ Ἀστυάνακτι τῷ Μιλησίῳ.

4 34-36c κατεδαίσατο μάζας : ὡς ἔοικε διὰ τὴν ἀδδηφαγίαν ὁ Μίλων τὸν Αἴγωνα ἐπὶ ἄθλησιν προτέτραπται. μᾶζα δὲ τὸ νεόμακτον καὶ νεοφύρατον ψώμιον. τηνεὶ καὶ τὸν ταῦρον : ἐκεῖ, φησίν, ὁ Αἴγων ἐπὶ τοῦ Λακινίου καὶ τὸν ταῦρον ἔδωκε τῇ Ἀμαρυλλίδι, ἐνεγκὼν ἀπό τινος ὄρους καὶ περισπάσας τῆς ὁπλῆς.

4 38/39a ὦ χαρίεσ ς ’ Ἀμαρυλλί : ταῦτά φησιν ἀναμνησθεὶς τοῦ ἔρωτος τῆς Ἀμαρυλλίδος. ὦ χαρίεσ ς ’ Ἀμαρυλλί : ἐπεὶ ὁ Κορύδων ἐμνήσθη τῆς Ἀμαρυλλίδος, ἀνεμνήσθη ὁ Βάττος αὐτῆς· ἦν γὰρ ἐρωμένη αὐτῷ πρὸ τοῦ θανεῖν.

4 38/39c μόνας σέθεν : ἐλλειπτικῶς· δέον εἰπεῖν, ὅτι ἐπὶ σοὶ ἀποθανούσῃ διετέλεσα ὢν ἐν λύπῃ [εἶναι] ὡσεὶ παντός μοι τοῦ ποιμνίου ἀπολωλότος. ὅσον αἶγες ἐμὶν φίλαι : ἐνταῦθα σαφὴς αἰπόλος ὢν ὁ Βάττος, ὃν εἰκὸς τῆς Ἀμαρυλλίδος ἐρᾶν καὶ οὐ Θεόκριτον.

4 38/39d φησὶ δὲ ὑπερβολικῶς· ὅσον αἶγες φίλαι μοι, τοσοῦτον καὶ σὺ οὖσα προσφιλὴς ἀπέσβης, ἤγουν ἀπέθανες. οὗτος ἂν KGUEAPT νοηθείη καὶ ὁ κωμάζων πρὸς αὐτήν, ὅν φησιν ὁ Θεόκριτος· ‘κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα‘ (III 1). 〈 αἰαῖ τῶ σκληρῶ μάλα δαίμονος : .

4 40a . . 〉 διὰ τὸ εἶναι πτωχόν. GUEAT τοῦτό φησι διὰ τὸν θάνατον τῆς Ἀμαρυλλίδος.

4 40b K g U g θαρσεῖν χρή : τοῦτο ὁ Κορύδων φησὶ παραμυθούμενος, ἵνα μὴ ἀθυμῇ ἐπὶ τῇ τελευτῇ Ἀμαρυλλίδος.

4 45a θαλλόν : πᾶν τὸ τεθηλὸς θαλλὸν ἔλεγον οἱ ἀρχαῖοι. Ἀρχίλοχος (fgm. 29 Bergk Poet. lyr. gr. II 4 391 )· ‘ἔχουσα θαλλὸν μυρρίνης ἐτέρπετο‘. καὶ Ὅμηρος (ρ 224)· ‘θαλλόν τ’ ἐρίφοισι φορῆναι‘. Ἀθηναῖοι δὲ κατ’ ἐξοχὴν θαλλὸν τὴν ἐλαίαν φασί. τᾶς γὰρ ἐλαίας τὸν θαλλὸν τρώγοντι : θαλλὸς λέγεται πᾶν τὸ τεθηλός· κυρίως δὲ ὁ τῆς ἐλαίας βλαστός.

4 45b PT τὰ δύσσοα : τὰ δυσδίωκτα ἀπὸ τοῦ δυσκόλως σεύεσθαι καὶ ὁρμᾶν.

4 45[d] ἢ δύσοα δι’ ἑνὸς ς ἀντὶ τοῦ δυσώδη ἀπὸ τοῦ ἄω τὸ πνέω. σίτ θ’ : ἐπίφθεγμα βουκολικόν· [ὅπερ λέγουσιν] ὁμοίως καὶ τὸ ψίττα.

4 45e εἰώθασι δὲ λέγειν αὐτὸ οἱ διώκοντες τὰς βοῦς. λέπαργος : ὁ λευκός, ἢ ὁ λευκοποίκιλος ἢ ὁ λευκόπλευρος.

4 45f ἀλλ’ ὁ μὲν ἀπὸ τοῦ λέπας ἔχειν ἀργόν, ὅ ἐστι λευκὸν ἔχειν τὸ δέρμα· ὁ δὲ ἀπὸ τοῦ λευκὸς εἶναι κατὰ τὴν λαπάραν. λέπαργος : ὁ λευκὸς παρὰ τὸ ἔχειν λέπας ἀργόν, ἤγουν δέρμα λευκόν, ἢ λευκὸς κατὰ τὴν λαπάραν.

4 46a Κυμαίθα : ὄνομα βοὸς ἢ αἰγὸς παρὰ τὴν κώμυθα· ἢ ἡ τὰς κόμας αἰθὰς ἔχουσα, τουτέστι ξανθάς· ἢ ἡ ἐγκύμων.

4 46c 〈 Κυμαίθα : 〉 πυρρά. τουτῶθεν : ἐντεῦθεν.

4 48b ἴ δ ’ αὖ πάλιν : ἰδοὺ πάλιν πρόσεισι τοῖς φύλλοις ἢ τοῖς φυτοῖς. ἆδε πό θ ’ ἕρπει : περισπαστέον· δεικτικῶς γάρ.

4 48c πότε δὲ βαρύνεται κατὰ τὸ διάφορον. εἴ θ ’ ἦν μοι ῥοικόν : ἀντὶ τοῦ καμπύλον.

4 49a καὶ Ἀρχίλοχος (fgm. 58 Bergk Poet. lyr. gr. II 4 398 )· ‘ἀλλά μοι ῥοικός τις εἴη κατὰ κνήμην ἰδεῖν‘. 〈 ῥοικόν : 〉 καμπύλον ἢ τὸ ἀπὸ ῥοιᾶς ῥόπαλον.

4 49b U g τὸ λαγωβόλον : ᾧ οἱ διαφεύγοντες λαγωοὶ ξύλῳ βάλλονται.

4 49c GUEAPT ἢ ὅτι ῥάβδον οὖσαν ὀρθὴν ἐπεύχεται γενέσθαι καμπύλην, ἵνα μὴ ἔγκυον οὖσαν βλάψῃ τὴν βοῦν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

4 50/51a θᾶσαι μ ’ ὦ Κορύδων : ἀποστροφὴ τὸ σχῆμα. ἀπέστρεψε γὰρ τὸν λόγον πρὸς τὸν Κορύδωνα καί φησι· θέασαί με πρὸς τοῦ Διός· ἄρτι γάρ με ἄκανθα ἐπάταξε παρὰ τὸ σφυρόν. KG ἰστέον, ὅτι κατὰ τὸ σιωπώμενον ἀπῆλθεν ὁ Βάττος διῶξαι τὰς βόας καὶ ἀπερχόμενος ἐπάτησεν ἄκανθαν.

4 50/51b GUEAT ἀρμοῖ : εἰ μὲν ψιλοῦται, τὸ ἀρτίως σημαίνει· εἰ δὲ δασύνεται, τὸ ἡρμοσμένως.

4 50/51c KGUEAT 〈 ἀρμοῖ : 〉 νεωστί.

4 50/51d καὶ Αἰσχύλος (Prom. 615 Weckl.)· ‘ἀρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνουσ‘. U g τὸ ὡς δὲ βαθεῖαι ἀντὶ τοῦ ὡς μετέωροι καὶ ὑπερμεγέθεις.

4 52 ἀτρακτυλὶς εἶδος ἀκάνθης. εἴρηται δὲ ἀπὸ τοῦ τὰς ἀγροικικὰς γυναῖκας ἀτράκτους ποιεῖν ἐξ αὐτῶν. ἔνιοι δὲ ἀτρακτυλίδας 〈εἰσ〉 τὰ ἀγριολάχανα συγκαταλέγουσι. ἐτύπαν : ἐτρώθην.

4 54a ἅδε καὶ αὐτά : περισσὸς ὁ καί, ὥσπερ καὶ παρ’ Ὁμήρῳ (α 10)· ‘τῶν ἁμόθεν γε θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν‘. ἐκβαλὼν τὴν ἄκανθαν καὶ δεικνύων αὐτὴν τῷ Βάττῳ φησίν· ἥδε καὶ αὐτή.

4 55a καὶ ἁλίκον ἄνδρα : τὸ ἡλίκον πρὸς τὸν ἄνδρα, ἵν’ ᾖ· μικρὸν ὂν τὸ τύμμα ἡλίκον ἄνδρα, τουτέστι μέγαν ἢ ἀνδρεῖον, δαμάζει. τὸ ἡλίκον ἐπίρρημα, ἵν’ ᾖ· ὅσον τὸ τύμμα καὶ ὁποίως τὸν ἄνδρα δαμάζει.

4 56a μὴ ἀνήλιπος : ἀνυπόδητος. ἧλιψ γὰρ ὑπόδημά τι παρὰ τὸ ἑλίσσειν τὸν πόδα· ὅθεν καὶ πέδιλον τὸ ὑπὸ τοὺς πόδας εἱλούμενον. ἀνάλιπος ὁ ἀνυπόδητος.

4 56b 〈...〉 ἐξ οὗ καὶ πέδιλον τὸ ὑπόδημα. ἀνήλιπος δὲ οἱονεὶ ὁ μὴ ἑλίσσων τὸν πόδα. T ῥάμνοι τε καὶ ἀσπάλαθοι : γράφεται καὶ κάκτο ι .

4 57a κομόωντι δὲ ἀντὶ τοῦ κομῶσιν, ἀκάνθας ἔχουσι· κόμαι γὰρ ῥάμνου καὶ ἀσπαλάθου αἱ ἄκανθαι. ἀσπάλαθοι : εἶδος ἀκάνθης, ᾗ πληγέντες οἱ ἔλαφοι ἀποθνήσκουσιν.

4 57b ἀσπάλαθος δὲ διὰ τὸ μὴ ῥᾳδίως ἀπὸ τῶν πληγέντων ἀφαιρεῖσθαι. KGUEAPT μύλλει : ἀντὶ τοῦ φιλεῖ.

4 58a μυλλὸν γὰρ τὸ διεστραμμένον, οἱ δὲ γέροντες διεστραμμένοις τοῖς ὄμμασι φιλοῦσιν. γράφεται μύλλε ι , ἤγουν ἐπι.

4 58b ......... αἰσχρῶς. K μύλλει : κάμπτει· ἀλλὰ καὶ ἐλαύνει καὶ περαίνει ἀπὸ τῶν ἀλούντων καὶ τῇ κώπῃ τοὺς μύλους ὠθούντων.

4 58c KGUEAPT 〈 γερόντιον : 〉 οὐχ Ἑλληνικόν, ἀλλ’ ὑποκοριστικόν.

4 58d GUEAT γέροντα δὲ τὸν πατέρα Αἴγωνος λέγει.

4 58e PT ὦ δειλαῖε : οὐχ ὡς λοιδορῶν, ἀλλ’ ὑποκοριζόμενος KGU g E g καὶ ὑποκρινόμενος.

4 61a μάνδρᾳ : τὴν τῶν προβάτων ὁρκάνην. γράφεται καὶ ποτὶ τὰν μάκτρα ν , ὅ ἐστι σκεῦος ξύλινον ἀβακοειδές, οὗ φυρᾶν εἰώθασιν· ἀπὸ τοῦ μάττειν τὰς μάζας ἐν αὐτῇ ὠνόμασται. 〈 ἆμος ἐνήργει : 〉 ἡνίκα συνεκοιμάζετο.

4 61c ἡνίκα ἐνήργε ι , δηλονότι συνουσιάζων. φιλοῖφα : φιλῶν τὸ συνουσιάζειν· οἰφεῖν γὰρ τὸ συνουσιάζειν.

4 62/63a οὕτω καὶ παρὰ Ἀλεξανδρεῦσι κόρυφος λέγεται ὁ ὡς κόρη οἰφώμενος. φιλοῖφα : οἰφεῖν τὸ συνουσιάζειν ἀπὸ τοῦ ὀπιπεύειν.

4 62/63b ἔνθεν καὶ ‘οἰφόλις γυνή‘ καὶ ἡ παροιμία ‘ἄριστα χωλὸς οἰφεῖ‘, ἥν φασι διαδοθῆναι, ἐπεὶ οἱ χωλοὶ ἐν οἴκῳ καθεζόμενοι συνεχῶς ἀφροδισιάζουσιν. οἱ δέ φασιν ἐντεῦθεν τὴν παροιμίαν διαδοθῆναι. αἱ Ἀμαζόνες ἐπὰν ἄρρεν γεννήσωσι, χωλὸν αὐτὸ ποιοῦσιν, ἵνα μὴ ἀνδρειότερον αὐτῶν γένηται· καὶ τούτοις ἀνδρωθεῖσι συνίασι. Σκυθῶν οὖν λεγόντων κάλλιον ἔχειν συνεῖναι αὐτοῖς αὐτάς, ἐκεῖναί φασιν· ‘ἄριστα χωλοὶ οἰφοῦσιν‘. Σατυρίσκοις : ἀκρατεῖς οἱ Σάτυροι ἐρώτων. [5]

4 62/63c λέγεται δὲ παρὰ τὸ σάθη, σάθη δὲ τὸ μόριον τοῦ ἀνδρὸς λέγεται ὅπερ καὶ πέος. KGUEAT ἢ Σατυρίσκοις 〈ἐγγύθεν ἢ Πάνεσσι 〉 : τοὺς Πᾶνας πλείους φησὶν ὡς καὶ τοὺς Σειληνοὺς καὶ τοὺς Σατύρους, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ (fgm.

4 62/63d 35 Nauck Trag. gr. fgm. 2 13), Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ (fgm. 132 Nauck KGUEA 159). ὅτι οἱ Σάτυροι καὶ οἱ Πᾶνες εὐεπίφοροι πρὸς τὰς συνουσίας λάγνοι ὄντες, καὶ Καλλίμαχός (fgm. 366 Schneider II 566) φησιν· ‘ἔτι φὴ σινάμωρος ἐρήμῳ θὴρ δύνατ’ ἐν πείρῃ‘. περὶ γὰρ τῶν Σατύρων πρόδηλον· καὶ γὰρ τὸ ὄνομα ἀπὸ τῆς σάθης λέγεται. ἢ Σατυρίσκοις ἐγγύθεν 〈ἢ Πάνεσσι 〉 : τοὺς Πᾶνας πλείους φησὶν ὡς καὶ τοὺς Σειληνοὺς καὶ τοὺς Σατύρους, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ (v.

4 62/63e sch. d), Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ (v. ib.). οἱ Σάτυροι δὲ καὶ οἱ Πᾶνες εὐεπίφοροι πρὸς τὰς συνουσίας. ὅτι δὲ οἱ Σάτυροι τοιοῦτοι, δῆλον ἀπὸ τοῦ ὀνόματος· ἀπὸ γὰρ τῆς σάθης πεποίηται ὁ Σάτυρος, σάθη δὲ ἡ εἰς τὴν ἐπιθυμίαν ἐκπύρωσις. κακοκνάμοισιν : ἐπειδὴ 〈ὡσ〉 αἱ αἶγες ἔχουσι λασίους πόδας.

4 62/63f ἢ ἀπὸ τῶν ὀρῶν τῶν κνημῶν. 〈 κακοκνάμοισιν : 〉 κακοδέρμοις.

5 t Αἰπολικὸν καὶ Ποιμενικόν Αἰπόλος καὶ ποιμὴν ἐπὶ Ἰταλίας ἀλλήλοις διαλέγονται δι’ ἀμοιβαίων δραματικώτερον τοῦ ποιητικοῦ προσώπου μὴ συνεκφαινομένου.

5 arg a αἰπόλος ὁ Κομάτας Εὐμάρα τοῦ Συβαρίτου βόσκων τὰς αἶγας, ὁ δὲ Λάκων ποιμὴν Θουριεὺς Σιβύρτα νέμων τὰ πρόβατα. ἔχει δὲ ὁ μὲν Κομάτας κόρην ἐρωμένην Ἀλκίππην, ὁ δὲ ἕτερος 〈ἐρώμενον〉 Εὐμήδην. ἐπιγράφεται μὲν τὸ εἰδύλλιον τοῦτο Αἰπολικὸν καὶ Ποιμενικόν.

5 arg b προσδιαλέγονται δὲ ἀλλήλοις ποιμὴν καὶ αἰπόλος ἐπὶ Ἰταλίας δι’ ἀμοιβαίων. δραματικώτερον δέ ἐστι τὸ εἰδύλλιον τοῦ ποιητικοῦ προσώπου μὴ ἐμφαινομένου. ἔστι δὲ τοῦ UEA αἰπόλου τὸ ὄνομα Κομάτας Εὐμάρα τοῦ Συβαρίτου νέμοντος αἶγας, τοῦ δὲ ποιμένος Λάκων Θουρίου Σιβύρτα νέμοντος θρέμματα. ἔχει δὲ ὁ μὲν Κομάτας κόρην ἀγαπωμένην Ἀλκίππην τοὔνομα, ὁ δὲ ἕτερος ἐρώμενον Εὐμήδην. ἐρίζουσι δὲ περὶ εὐμουσίας παρὰ Μόρσωνι κριτῇ, ὃς καὶ τῷ αἰπόλῳ τὴν νίκην ἀπονέμει. ὁ δὲ ἐπὶ τῇ νίκῃ χαίρει καὶ γέγηθεν. ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Αἰπολικὸν καὶ Ποιμενικόν.

5 arg c προσδιαλέγονται δὲ ἀλλήλοις ἐπὶ Ἰταλίας ποιμὴν καὶ αἰπόλος. δραματικώτερον δέ ἐστι τὸ εἰδύλλιον τοῦ προσώπου τοῦ ποιητοῦ μὴ ἐμφαινομένου. ἔστι δὲ τοῦ αἰπόλου τὸ ὄνομα Κομάτας, ὃς Εὐμάρα τοῦ Συβαρίτου νέμει αἶγας· τοῦ δὲ ποιμένος Λάκων, ὃς Θουρίου Σιβύρτα νέμει θρέμματα. ἔχει δὲ ὁ μὲν Κομάτας κόρην ἀγαπωμένην Ἀλκίππην τοὔνομα, ὁ δὲ Λάκων ἐρώμενον Εὐμήδην. ἀλλήλους δὲ προκαλοῦνται περὶ εὐμουσίας ἐρίζοντες καὶ ἔπαθλον τῆς νίκης τίθενται ὁ μὲν αἰπόλος τράγον, ὁ δὲ ποιμὴν ἀμνόν, Μόρσωνα δὲ κριτὴν τῶν ᾠδῶν αἱροῦνται. τελεσάντων δὲ τὴν ἅμιλλαν ὁ κριτὴς Μόρσων τῷ αἰπόλῳ τὴν νίκην ἀπονέμει. ὁ δὲ ἐπὶ τῇ νίκῃ γαῦρος γενόμενος προσδιαλέγεται ταῖς αἰξὶ καὶ τὴν τοῦ τράγου πρὸς τῶν αἰγῶν ὄρεξιν πειρᾶται καταστέλλειν ἐπινίκιον θυσίαν ταῖς Νύμφαις εὐτρεπίζων. Συβαρίταν : ὄνομα πόλεως ἢ ἀπὸ Συβάρεως ποταμοῦ ἢ ἀπό τινος οἰκιστοῦ.

5 1b Συβαρίταν : ἀπὸ Συβάρεως. πόλις δέ ἐστιν αὕτη τῆς Ἰταλίας 〈Ἀθηναίων〉 ἄποικος νῦν καλουμένη Θούριον. τινὲς τὸ αὐτὸ Θούριον καὶ Σύβαριν καλοῦσι.

5 1c λέγουσι γάρ, ὅτι ὑπὸ τῶν Κροτωνιατῶν καθῃρέθη ἡ Σύβαρις· ἐλθόντες δὲ οἱ Ἀθηναῖοι αὐτὴν ᾤκισαν καὶ τῇ πόλει μετήμειψαν τὸ ὄνομα καλέσαντες αὐτὴν Θούριον ἀπὸ Θουρίου ποταμοῦ ἐκεῖσε ῥέοντος. τὸν Συβαρίταν : τὸν ἀπὸ Συβάρεως πόλεως.

5 1d Σύβαρις δὲ καὶ Θουρία ἡ αὐτή. μετὰ γὰρ τὸ καθαιρεθῆναι ταύτην ὑπὸ Κροτωνιατῶν οἱ Ἀθηναῖοι ἐλθόντες ᾤκισάν τε ταύτην καὶ Θουρίαν προσηγόρευσαν ἀπό τινος κρήνης Θουρίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θεόκριτος δὲ διιστᾷ καὶ ἄλλην τὴν Θουρίαν λέγει καὶ ἄλλην τὴν Σύβαριν. λέγει γὰρ παρακατιών (v. 72 sq.)· ‘ἅδε τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτα, Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς, φίλε, τῷ Συβαρίτα‘. ἰστέον, ὅτι τοῦ μὲν αἰπόλου τὸ ὄνομά ἐστι Κομάτας, ὃς καὶ Εὐμάρα τοῦ Συβαρίτου νέμει αἶγας· τοῦ δὲ ποιμένος Λάκων, ὃς Θουρίου Σιβύρτα νέμει θρέμματα.

5 2a Λάκων ὄνομα κύριον. ἐκτείνει δὲ τὸ α διὰ τὸ μέτρον. ἐτίθεσαν γὰρ οἱ παλαιοὶ τοῖς δούλοις τὰ ὀνόματα ἀπὸ τῶν ἐθνῶν, Σύρον, Λυδόν, Καρίωνα.

5 2c τὸν Λάκωνα : εἰώθασιν οἱ παλαιοὶ τοῖς δούλοις ὀνόματα ἀπὸ τῶν πόλεων τιθέναι, Σύρον, Λάκωνα καὶ Καρίωνα. νάκος χθές : Ζηνόδοτος τὸ κώδιον, τὸ μαρσύπιον.

5 2d καὶ νάκος αἰγὸς δορὰν καὶ Ὅμηρος (ξ 530)· ‘νάκος ἕλετ’ αἰγὸς ὀρειτρόφου‘. καὶ Θεόκριτος ἐν τοῖς ἑξῆς (v. 12) αἰγός φησιν. GUEAT νάκος : κώδιον, ὃ μηλωτήν φαμεν.

5 2e PT 〈 νάκος : 〉 τῆς αἰγὸς τὸ δέρμα.

5 2f K g 〈 οὐκ ἀπὸ τᾶς κράνας : 〉 παρακέλευσις, τουτέστιν· ἀπόστητε, ἐκπορεύεσθε.

5 3a KGUEAT σίτ τ ’ ἀμνίδες : τὸ σίττα καὶ ψίττα βουκολικὰ ἐπιφθέγματα· εἰσὶ δὲ ἐπιρρήματα.

5 3c σίτ τ ’ ἀμνίδες : [Περδίκα Ἀγρίππα] σίττα, ψίττα ποιμενικὰ καὶ βουκολικὰ ἐπιφθέγματα. ἔλεγον δὲ ταῦτα διώκοντες τὰ πρόβατα καὶ τὰς βοῦς. ἀμνίδες : τὰ πρόβατα, μάλιστα δὲ τὰ μικρὰ προβάτια, οἱονεὶ τὰ ἀμενηνά.

5 3e οὐκ ἐσορῆτε : ἀντὶ τοῦ οὐκ ἐσορᾶτε. KGUEAT δῶλε : δοῦλε.

5 5a δοῦλος καὶ οἰκέτης διαφέρει, ὥς φησι Χρύσιππος (cf. fgm. 353 Arnim Stoic. vet. fgm. III 86 )· οἰκέτης μὲν ὁ ἔτι ὑπὸ κτῆσιν ὤν, δοῦλος δὲ 〈καὶ〉 ὁ ἀπεKGUEAPT λεύθερος. Σιβύρτα : Δωρικῶς κατὰ τὴν γενικὴν ἀντὶ τοῦ Σιβύρτου.

5 5c Συβάρτα δὲ ὡς Ἀγρίππα, Περδίκκα. ἔστι δὲ κατὰ μὲν τὸ ἀνάλογον Συβαρίτης, κατὰ δὲ Δωριεῖς Συβάρτης. ἀρκεῖ τοι καλάμας : οὐκ ἀρκεῖ σοι, φησί, σὺν τῷ Κορύδωνι ἐν καλάμῳ φυσᾶν καὶ δι’ αὐτὸ ἀρκεῖ αὐλεῖν ὡς οἱ παῖδες; τοῦτο δὲ χλευαστικόν, ὅτι οὐδὲ αὐλεῖν οἶδεν, εἰ μὴ τὸ ποππύσδεν καὶ μόνον.

5 6/7a καλάμη δὲ τὸ περιλειπόμενον τοῦ σίτου καλαμῶδες καὶ τῆς κριθῆς. ταύτην δὲ νεαρὰν οὖσαν ὑποτεμνόμενοι φυσῶσιν ἐν αὐτῇ καὶ αὐλίζουσι. τί δ ’ οὐκέτι σὺν Κορύδωνι ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι : ὁ Κορύδων βουκόλος, οὗ πρόσθε μέμνηται.

5 6/7b καλάμη δέ ἐστι τὸ καταλειπόμενον ἐκ τοῦ θεριζομένου σίτου, ποππύσδεν δὲ τὸ λεπτοτάτως φωνεῖν τινα φυσῶντα τὸν ἐκ τῆς καλάμης αὐλόν. ὁ δὲ νοῦς· οὐκ ἀρκεῖ σοι, φησί, σὺν Κορύδωνι φυσᾶν καὶ συναυλεῖν αὐτῷ; χλευαστικῶς δέ φησιν· οὐ γὰρ αὐλεῖς, ἀλλὰ ποππύζεις. 〈 ποππύσδεν : 〉 συρίζειν· δι’ οὗ δηλοῖ τὸ κακῶς αὐλεῖν.

5 8a 〈 ὠλεύθερε : 〉 εἰρωνευόμενος τοῦτο ὁ Λάκων εἶπεν. 〈 ὠλεύθερε : 〉 εἰρωνικῶς· δοῦλος γὰρ ἦν οὗτος.

5 10a οὐδὲ γὰρ Εὐμάρᾳ : πρὸς ὑπερβολὴν ἔφη. λέγει δὲ μηδὲ αὐτὸν τὸν δεσπότην Εὐμάραν ἐπικεκοιμῆσθαι δέρματι. KGUEAT Εὐμάρᾳ : ἀντὶ τοῦ Εὐμάρει.

5 10b GUEAT οὐδὲ ὁ δεσπότης ἔχει δέρμα τι πρὸς τὸ κοιμηθῆναι.

5 10d εὐμάρα : τινές φασιν, ὅτι δέρμα τί ἐστι καὶ οὐκ ὄνομα, ἵν’ ᾖ· οὐδὲ γὰρ τῷ δεσπότῃ σου εὐμάρα ἦν ὥστε ἐνεύδειν. Εὐμάρας κύριον ὄνομα.

5 10f εὐμάρα τὸ κώδιον. ἢ κύριον ὄνομα. P g τὸ Κροκύλος μοι ἔδωκε : τὸ δέρμα μοι ἐχαρίσατο ὁ Κροκύλος, σὺ δὲ τοῦτο ἀφήπασας.

5 11-13a G 1.2 UEAT βασκαίνων : τοῦτο νῦν ἀντὶ τοῦ φθονῶν, λυπούμενος.

5 11-13b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βάσκανος γὰρ κυρίως ὁ 〈τοῖς φάεσι, ἤγουν〉 τοῖς ὀφθαλμοῖς καίνων καὶ φθείρων τὸ ὁραθὲν ὑπ’ αὐτῶν. βασκαίνων : βασκαίνειν ἐστὶ τὸ τοῖς φωσὶ καίνειν ἤγουν βλάπτειν τοῖς ὀφθαλμοῖς τὸ ὁραθέν.

5 11-13c PT ἄκτιον : τὸν κυνηγόν· ἐπακτῆρες γὰρ οἱ κυνηγοί, ὥς φησιν Ὀππιανός (Hal.

5 14-16a I 20)· ‘πολλαὶ γὰρ ἐπακτήρων ἀλεωραί‘. KGUEAT 1.2 Πᾶνα 〈τὸν〉 ἄκτιον : ἔστι Πανὸς ἱερὸν πλησίον Κράθιδος ποταμοῦ, ὥς φησι Φιλοστέφανος (fgm.

5 14-16b 25 Mueller Fgm. hist. gr. III 32). τινὲς δέ φασι τὸν ὑπὸ ἁλιέων [τὸν] ἐπὶ τῆς ἀκτῆς ἱδρυμένον· φησὶ δὲ καὶ Πίνδαρος (fgm. 98 Schroeder Poet. lyr. gr. I 1 5 422) τῶν ἁλιέων αὐτὸν φροντίζειν. τὸν Πᾶνα τὸν ἄκτιον : οὗ ὁ ναὸς ἐπὶ τοῦ αἰγιαλοῦ ἵδρυται. [5]

5 14-16d 〈 ἄκτιον : 〉 τὸν περὶ τοὺς πετρώδεις αἰγιαλοὺς διάγοντα. τὰν βαίταν : τὰ ἐκ κωδίων συνερραμμένα περιβόλαια καλοῦσι βαίτας, Ἀττικοὶ δὲ σισύρας.

5 14-16f τὰν βαίταν ἀπέδυσα : βαίτα ἡ διφθέρα ἡ ἐκ κωδίων συνερραμμένη. Ἀττικῶς δὲ σισύραν ταύτην φασίν. Ἀριστοφάνης (Nub. 10)· ‘ἐν πέντε σισύραις ἐγκεκορδυλημένοσ‘. ἡμεῖς δ’ αὐτὰ σισούρνιά φαμεν. ὁ Καλαίθιδος : πότερον [ἢ] υἱὸς ἢ δοῦλος, οὐ λέγει.

5 14-16h ὁ Καλαίθιδος : ὅτι Καλαίθιδος οἰκέτης, διὸ καὶ οὐ λέγει υἱός. ἦ κατὰ τήνας : γράφουσί τινες αὐτὸ καὶ ἤ, ἵν’ ᾖ· οὐκ ἔλαβον αὐτήν· ἤ, εἰ ἀφεῖλον, φθαροίμην.

5 14-16k εἰς Κρᾶθιν ἁλοίμαν : Κρᾶθις καὶ Σύβαρις ποταμοὶ περὶ Σύβαριν. ὡς Νυμφόδωρος (fgm. 5a Mueller Fgm. hist. gr. II 377) καὶ Θεόφραστός (cf. fgm. 162 Wimmer, ed. a. 1866, 453) φασι, τοῦ Κράθιδος τὸ ὕδωρ ξανθίζει. ἢ ποταKGEAT μὸς Κρότωνος· οὗτος δὲ Ἰταλίας. ἡ δὲ κατὰ ἀντὶ τῆς ἀπό. εἰ ἐπιορκοίην, ἄνωθεν ἀπὸ τῆς πέτρας ἐκείνης ἐκριφείην εἰς τὸν Κρᾶθιν ποταμόν. [5]

5 14-16l οὐ μάτην δὲ τὸν Πᾶνα ὄμνυσιν· εἰώθασι γὰρ οἱ ἐκ πτοίας καὶ μανίας κατακρημνίζειν ἑαυτοὺς μέλλοντες 〈...〉. πάντα δέ εἰσι ταῦτα Πανικὰ δείματα. ἐς Κρᾶθιν ἁλοίμαν : Κρᾶθις ποταμὸς περὶ Σύβαριν τῆς Σικελίας. [5]

5 17 λιμνάδας : τὰς ἐν λίμναις διατριβούσας. K ἐντὶ μὲν οὐδὲν ἱερόν : παροιμία ἐπὶ τῶν μηδενὸς ἀξίων.

5 21/22a φησὶ δὲ Κλέαρχος ἐν δευτέρῳ τῶν Παροιμιῶν (fgm. 48 Mueller Fgm. hist. gr. II 319), ὅτι Ἡρακλῆς ἰδὼν ἱδρυμένον τὸν Ἄδωνιν ἔφη· KGEAT 1.2 ‘οὐδὲν ἱερόν‘· οὐ γὰρ αὐτὸν ἄξιον τιμῆς καὶ ἱδρύσεως ἔκρινεν.

5 21/22b KGEAT Διονυσόδωρος δὲ μεταφορὰν εἶναί φησιν ἀπὸ τῶν ἱερκων τῶν τιμωμένων, μηδὲν δὲ ἐχόντων ἱερὸν καὶ σεβασμοῦ ἄξιον.

5 21/22d Ἡρακλῆς ἐλθὼν εἰς Δῖον πόλιν τῆς Μακεδονίας εἶδεν ἔκ τινος ἱεροῦ πολλοὺς ἐξιόντας. θέλων δὲ προσκυνῆσαι ἀνέκρινε, τίνος εἴη. μαθὼν δὲ Ἀδώνιδος εἶναι ἔφη· ‘οὐδὲν ἱερὸν‘ ἀντὶ τοῦ οὐδενὸς ἄξιον, οἷον οὐδεὶς θεῶν ὑπάρχει. KGEAPT ἔστι μὲν οὐδὲν μέγα, ὡς ὁ Ἀσκληπιάδης φησί.

5 21/22f ἀλ λ ’ οὖν αἴκα λῇς : εἰ βούλει, φησίν, ἔριφον καταθεῖναι. τῷ δὲ αἴκα ἡ Δωρικὴ διάλεκτος ἀεὶ ἀντὶ τοῦ ἐὰν κέχρηται· διὸ καὶ ὑποτάσσει. ἐντὶ μὲν οὐδὲν ἱερόν : τουτέστιν οὐδὲν τίμιόν ἐστιν· ὅπερ ἐπὶ τῶν μηδενὸς ἀξίων εἴωθε λέγεσθαι.

5 21/22h διαείσομαι : διακριθήσομαι, ἕως οὗ ἀπαγορεύσεις νικηθεὶς ἢ ἕως ἂν ὁμολογήσῃς. ἀλ λ ’ ἄγε τοι διαείσομαι : διακριθῶ.

5 21/22i ἔστε κ ’ ἀπείπῃς : ἕως ἂν ὁμολογήσῃς. 〈 διαείσομαι : 〉 διακριθήσομαι καὶ τραγῳδήσω, ἕως οὗ ὁμολογήσεις.

5 21/22l

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟨ ἔστε κατείπῃς : ⟩ γράφεται ἀπείπῃ ς . ὗς πο τ ' Ἀθαναίαν ἔριν ἤρισεν : ὗς ὢν πρὸς Ἀθηνᾶν ἐρίζεις.

5 23 παροιμία δέ ἐστιν ἐπὶ τῶν τοῖς κρείττοσι φιλονεικούντων. εὔβοτον : εὐτραφῆ· βόσις γὰρ ἡ τροφή, ὅθεν καὶ τὸ αἰγίβοτον καὶ τὸ ἱππόβοτον.

5 24b ἔρειδε : κατάθου. καὶ πῶς ὦ κίνα δ ' εὖ : Σικελιῶται τὴν ἀλώπεκα οὕτως.

5 25a ἔστι δὲ ἀντὶ τοῦ πανοῦργε· τοιοῦτον γὰρ τὸ ζῷον. KGEA γράφεται ὦ κιναδεῦ : Σικελιῶται τὴν ἀλώπεκα οὕτως.

5 25[b] K r κίναδος ἡ ἀλώπηξ παρὰ τὸ κινεῖσθαι ἐν αἰδοῖ ἢ ἀναιδῶς ἢ παρὰ τὸ κινεῖσθαι ἐν δόλῳ.

5 25c KGEAT ὦ κίναδε : ἤτοι ὦ πανοῦργε· Σικελιῶται γὰρ τὴν ἀλώπεκα κίναδον προσαγορεύουσιν.

5 26/27a ἐποκίξατο : ἔκειρε, πόκον ἐποίησε· τίς γάρ ποτε ἔκειρε τρίχας ἀντὶ ἐρίων; [ἢ] τοῦτό φησιν, ὅτι αὐτὸς μὲν ἄρνα κατατίθεται, ἐκεῖνος δὲ ἔριφον, ὃς οὐ ποκίζεται. KGEAT ἐποκίξατο : ἔξανεν.

5 26/27c τίς ἀντὶ τοῦ χρησίμου τὸ μὴ τοιοῦτον προέκρινε; ET ἔστι δὲ παροιμία· τίς ἀντὶ τοῦ ἀρνοῦ ἔριφον ἔλαβεν; EP m τίς δὲ παρεύσας : τίς δὲ παρούσης αἰγὸς πρωτοτόκου κύνα βούλεται ἀμέλγειν; PT ⟨ πρωτοτόκου : ⟩ ἤτοι νέας, πολυγαλάκτου.

5 26/27[f] E g κακὰν κύνα : λιμηράν.

5 26/27g κύνα δὲ τὸ πρόβατον ἴσως ἔφη ἐκφαυλίζων αὐτό. KGEAT ⟨ κακὰν κύνα : ⟩ γεγηρακυῖαν.

5 26/27[h] E g δήλε τ ' ἀμέλγειν : βούλεται· οὕτως γὰρ οἱ Δωριεῖς KGEAT φασι.

5 28-30a ὅστις νικασεῖν : ὅστις, φησί, τὸν πλησίον νικήσειν ἐπαγγέλλεται διαφερόντως ⟨ᾄδοντα⟩ , καὶ θελήσει ποιεῖν τοῦτο, ἤγουν ἀντ' αἰγὸς κύνα ἀμέλγειν· οἷον καὶ σὺ νῦν ἐμὲ νικήσειν φῂς τὸν τοσοῦτον ἐν ἡδυφωνίᾳ σου διαφέροντα ὅσον τέττιγες σφηκῶν. σφὰξ βομβέων : ὁ σφήξ, φησί, σὺ ἐμοῦ κατ' ἐναντίον τοῦ τέττιγος τολμᾷς βομβεῖν. [5]

5 28-30c ⟨ σφάξ : ⟩ εἶδος μελίσσης ἦχον ἀποτελοῦν. ὥριφος : εἰ ὁ ἔριφος οὗτος οὐκ ἐξισοῦται τῷ ἀμνῷ, ἀλλὰ τίθημι τράγον.

5 28-30d ἰσοπαλής : ἴσος ἐν κλήρῳ· πάλος γὰρ ὁ κλῆρος. ἢ ἐκ τοῦ πάλη. μὴ σπεῦδε : μὴ ἐπείγου ὥσπερ ὑπὸ φλογὸς καιόμενος.

5 31a παροιμία· μὴ σπεῦδε, οὐ γὰρ ἐπὶ πυρὸς βέβηκας. μὴ σπεῦ δ' , οὐ γάρ τοι πυρὶ θάλπεαι : ἀντὶ τοῦ· οὐκ ἐπὶ πυρὶ βέβλησαι.

5 31c μὴ σπεῦ δ' , οὐ γάρ τοι πυρὶ θάλπεαι : παροιμία ἐστίν· μὴ σπούδαζε, οὐ γὰρ ἐπὶ πυρὸς βέβηκας. τεῖν δ ' ὑπὸ τὰν κότινον : τὸ τεῖνδε ἀντὶ τοῦ τῇδε καὶ ἐνταῦθα Δωρικῶς.

5 32b καὶ τἄλσεα : οἱ σύνδενδροι τόποι παρὰ τὸ εἰς ὕψος ἄλλεσθαι. ψυχρὸν ὕδωρ τουτί : καὶ τὸ τουτὶ ἀντὶ τοῦ ἐνταῦθα.

5 34a χἀ στιβάς : στιβάδα λέγει νῦν τὴν βοτάνην· κυρίως δὲ στιβὰς ἡ στρωμνή. τὸ δὲ ἆδε [ λαλεῦντ ι] ἀντὶ τοῦ ὧδε τροπῇ Δωρικῇ τοῦ ω εἰς α . ποία χἀ στιβὰς ἆδε : ποία ἡ βοτάνη, στιβὰς δὲ ἡ ἐπὶ τῆς γῆς στρωμνή.

5 34b τὸ δὲ ἆδε ἀντὶ τοῦ ὧδε Δωρικῶς τροπῇ τοῦ ω εἰς α . PT καὶ ἀκρίδες : ἀκρίδες λέγονται τὰ πωλία τὰ καθήμενα εἰς τὰ ἄκρα τῶν δένδρων καταχρηστικῶς· κυρίως γὰρ αὐτὰ τὰ ἄκρα τῶν δένδρων.

5 36/37a ὅν πο κ ' ἐόντα : ταῦτά φησιν ἐπὶ τῷ τὴν χάριν [εἰς ἅμιλλαν αὐτῷ συνεληλυθέναι] ⟨...⟩ παρ' αὐτοῦ διδαχθέντι, ὡς καὶ προκαλεῖσθαι αὐτὸν εἰς ἅμιλλαν. KGEAT ἁ δ ' αὖ χάρις ἐς τί πο θ ' ἕρπει : ἀντὶ τοῦ εἰς οἷον ἡ χάρις τῆς εὐεργεσίας κατηνέχθη.

5 36/37b PT θρέψαι καὶ λυκιδεῖς : ἐκθρέψειεν ἄν τις καὶ λύκων ἐκγόνους καὶ κύνας ἐπὶ τῇ λύμῃ τῇ αὐτοῦ, ὡς κἀγὼ τοῦτον ἐδίδαξα ἐπὶ ἀχαριστίᾳ.

5 38a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

KGEAT ἔστι δὲ τὸ τοῦ Ἰσοκράτους (Ad Demon.

5 38b 29) ‘κακοὺς ποιῶν εὖ‘. θρέψαι κύνας : παροιμία ἀπὸ τοῦ Ἀκταίωνος τοῦ ὑπὸ τῶν ἰδίων κυνῶν βρωθέντος· τάσσεται δὲ ἐπὶ τῶν ἀχαριστούντων τοῖς εὐεργέταις.

5 38c KGEAPT οὗτος γάρ, ὥς φασιν, τὴν Ἄρτεμιν ἰδὼν γυμνήν, ἐκείνη αἰδεσθεῖσα λύσσαν τοῖς κυσὶν EAT ἐμβάλλει, κἀκεῖνον κατέφαγον.

5 40a ἀνδρίον : δυσγενὲς καὶ ἀνελεύθερον ἀνθρώπιον· ὑποκοριστικῶς. ἀνδρίον : ἀνδράριον, ἀνθρωπάριον· ὑποκοριστικῶς.

5 40b τὸ δὲ αὕτως ἀντὶ τοῦ μάτην. ἐπύγιζον : πυγμαῖς ἔκρουον.

5 41a ἄτοπον δὲ τοῦτο φανερῶς ἐξειπεῖν. τὺ δ ’ ἄλγεες : ἀντὶ τοῦ· ἐδόκεις μοι ἀλγεῖν, μᾶλλον δὲ ἡδύνου· καὶ γὰρ ἴδιον τοῦτο τῶν συνουσιαζομένων ἐστίν.

5 42 κατεβληχῶντο : βληχήν τινα ἠφίεσαν βιαζόμεναι ὑπὸ τῶν τράγων. μὴ βάθιον : μὴ βαθυτέρου τύχοις τάφου τοῦ πυγίσματος, οὗ φῄς με εἰργάσθαι· σὺ δὲ ταφείης, ὡς ἐγὼ πεπύγισμαι.

5 43[b] ἤτοι οὐκ ἔδωκάς μοι πυγίσματα μηδὲ ταφείης, ὦ κυρτέ. πυγίσματος : μὴ ταφείης, ἀντὶ τοῦ γαμηθείης, βαθύτερον σὺ τοῦ πρὸς ἐμὲ πυγίσματος ἐκ σοῦ, ὡς σὺ λέγεις· ἀρνεῖται δὲ διὰ τούτου.

5 43c καὶ Ἀριστοφάνης δὲ ἐν Βατράχοις (423 sq.) φησὶ περὶ τοῦ Κλέωνος [περὶ] τὸ κρυπτόμενον καὶ τὸ ἔνδον νοούμενον· ‘ἐν ταῖς ταφαῖς τίλλεσθαι‘, ἤγουν ἐν καιρῷ συνουσιασμοῦ τὰς τρίχας ἐκτίλλειν τῆς πυγῆς. ὑβὸς κυρτός. [5]

5 43[d] καὶ ὑβόν ἐστι κυφὸν ἀποβολῇ τοῦ κ καὶ τροπῇ τοῦ φ εἰς β . ὕβωσις καὶ κύρτωσις καὶ λόρδωσις πάθη· λόρδωσις γάρ ἐστι τὸ ἔμπροσθεν, ὕβωσις τὸ κατὰ τὴν κεφαλὴν πρὸ τῆς ῥάχεως πάθος, κύρτωσις δὲ τὸ μέσον τῆς ῥάχεως. ὑβὸς ὁ κυρτὸς καὶ 〈ὑβὸν〉 τὸ ἄρρεν αἰδοῖον. [5]

5 43e P m 〈 ὕστατα : 〉 διὰ τὸ μέλλειν μοι ἡττηθῆναι.

5 44* E g τηνεί : ἐκεῖσε οὐ βαδιοῦμαι ἢ εἰς ἐκεῖνον τὸν τόπον καὶ οἶκον.

5 45b τουτῶ δρύες : ἐνταῦθα. σμήνεσι : ταῖς καταδύσεσι τῶν μελισσῶν.

5 46 K λαλαγεῦντι : λιγυρῶς ᾄδουσι.

5 48/49a KE g καὶ ἁ σκιὰ οὐδὲν ὁμοία : ἡ παρ’ ἐμοὶ σκιὰ οὐδὲν ὁμοία τῇ παρὰ σοὶ σκιᾷ.

5 48/49b KGE g PT κώνοις : στροβίλοις κυρίως, καταχρηστικῶς δὲ τοῖς καρποῖς.

5 48/49c KGET ἀρνακίδας : τὰς τῶν ἀρνῶν δοράς.

5 50a KGP τῆδε πατησῆς : ἐκ περιουσίας ὡς καὶ πατεῖν.

5 50b GE g ὕπνω μαλακώτερα : τὸ ‘μαλακώτερα τοῦ ὕπνου‘ ἐν καιρῷ· τοιοῦτον γάρ τι χρῆμα ὁ ὕπνος.

5 51a GEAT ταὶ δὲ τραγεῖαι : αἱ δοραὶ τῶν τράγων.

5 51b P 〈 ταὶ δὲ τραγεῖαι : 〉 ἤγουν τὰ δέρματα τῶν ἐρίφων.

5 51c E g στασῶ δὲ κρατῆρα : 〈.

5 53/54a ..〉 παρόσον ἔλαιον ἐκτίθησι ταῖς Νύμφαις· αὗται γὰρ ἐκθρέψασαι τὸν Ἀρισταῖον ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ μέλιτος, ὥς φησιν ἈριKGEAT στοτέλης (fgm. 468 Rose, 1555 a 15). λευκοῖο γάλακτος : οὐχ ὡς μέλαν ὂν γάλα τοῦτό φησι λευκόν, ἵν’ ᾖ κατὰ διαφορὰν ἐκείνου, ἀλλ’ ὡς φύσει παντὸς λευκοῦ γάλακτος· ἐπίθετον γὰρ τοῦτο αὐτοῦ ἐστιν, ὥσπερ καὶ τοὺς Αἰθίοπας φύσει ὄντας ἀμαυροὺς καὶ ὀνομαστὶ [μὲν] ἄλλως καλούμενον ἕνα ἕκαστον αὐτῶν Αἰθίοπά φαμεν. [5]

5 53/54[c] στασῶ δὲ κρητῆρα : θύσω. ἁπαλὰν πτέριν : μαλακὸν χόρτον τὸν λεγόμενον βλάχνον.

5 55b πτέρις χορτάριόν τι μαλακόν. γλήχω ν’ : εἶδος βοτάνης.

5 56/57[b]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γλάχων τὸ βλισκούνιν. 〈 ὑπεσσεῖται : 〉 ἀντὶ τοῦ· ὑποστρώματα εἶεν τῶν χιμαιρῶν ἤτοι τῶν αἰγῶν τὰ δέρματα.

5 56/57d 〈 ὑπεσσεῖται : 〉 ὑποστρωθήσεται δέ σοι τὰ τῶν αἰγῶν δέρματα ἁπαλώτερα καὶ τῶν νέων προβατείων. γαυλώς : ἀγγεῖα χυτροειδῆ γαλακτοδόχα, ἐν οἷς πήσσουσι τὸ γάλα· παρὸ καὶ εἴρηται πλεονασμῷ τοῦ υ , ἅτινα καὶ ἀμολγέας καλοῦσι.

5 58b γαῦλος εἶδος πλοίου, γαυλὸς ἀγγείου. γαυλώς : παρὰ τὸ γάλα.

5 58c εἴδη δέ εἰσιν οἱ γαυλοὶ ἀγγείων ποιμενικῶν. σκαφίδας : ἀγγεῖα, εἰς ἃ κατετίθεσαν τὰς μελικηρίδας.

5 59b πλέα κηρία : τὰ κηρία μέλιτος ὄντα πλήρη, [ἐν] ἅ εἰσι μελικηρίδες. πατέων : λείπει χώραν.

5 61a τοῦτο ἐκ τῆς παροιμίας· ‘Σπάρταν ἔλαχες, Σπάρταν κόσμει‘ (Euripidis fgm. 723 Nauck Trag. gr. fgm. 2 588). K τὰν σαυτοῦ πατέων : τοῦτο ἀπὸ τῆς παροιμίας· ‘Σπάρταν ἣν ἔλαχες κόσμει‘ (v.

5 61b sch. a). λέγει δὲ τὸ χωρίον ἤτοι τὸν τόπον. P τὰν σαυτοῦ πατέων : τουτέστιν ἐπὶ τῆς οἰκείας χώρας βεβηκώς.

5 63 ποτιδεύομαι : προσχρήζω. K g L g E g P ἐρείκας : εἶδος φυτοῦ.

5 65a 〈 ξυλοχίζεται : 〉 γράφεται ξυλοχίσδεται · ξυλεύεται, ξύλα τέμνει. ἔστι δὲ καὶ παροιμία· ‘δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται‘. ξυλοχίζεται : τέμνει.

5 68/69a τὺ δ ’ ὦ φίλε : σὺ δέ, ὦ Μόρσων, μή μοι πρὸς χάριν ὁμιλήσῃς καὶ παρὰ τὸ δίκαιον τὴν νίκην χαρίσῃ, μήτε μὴν περιΐδῃς ἀδικούμενον. KGLEAT 〈 μή τ ’ ὦν τύγα τοῦτον〉 ὀνάσῃς : βλάψῃς, ἀδικήσῃς.

5 68/69b K 〈 τύγα : 〉 τὸ γα ἐπέκτασις.

5 68/69c K g E g τῷδε χαρίξῃ : ἐν χάριτι κρίνῃς.

5 71 P ὁρῇς φίλε τῶ Συβαρίτα : τὴν Θουρίαν ταυτήν φασιν εἶναι τῇ Συβάρει, ἄλλοι ἑτέραν καὶ ἑτέραν.

5 72/73b ἅδε τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτ α , Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς φίλε τῶ Συβαρίτα : ἄλλη Σύβαρις καὶ ἄλλη Θουρία· οὗτος γὰρ διΐστησι. μὴ τύ τις ἠρώτα : τοῦτο ὁ Λάκων φησὶν ἀγανακτῶν ἐπὶ τῷ προπετεῖ καὶ περιέργῳ τῆς γλώσσης αὐτοῦ.

5 78/79a [ εἶα λέ γ’ , εἴ τι λέγει ς ] 〈τὸν ξένον ἐς πόλιν αὖθις ζῶν τ ’ ἄφες : 〉 ἔτι καὶ νῦν τοῖς δι’ ὄχλου τινὶ γινομένοις εἰώθαμεν τοῦτο λέγειν· ἄνες ποτὲ τὸν ἄνθρωπον. λέγει δὲ [τοῦτον] τὸν ξένον τὸν παρακληθέντα κρῖναι. ζῶν τ ’ ἄφες : τοῦτό φησι θέλων σκῶψαι αὐτὸν τὸν αἰπόλον, ὡς ἀηδές τι μέλλει λέξαι καὶ ἴσως ἂν ἐκ τῆς ἀηδίας καὶ ὁ Μόρσων ἡμιθνὴς γενήσεται ἢ καὶ τέλος θάνῃ.

5 78/79b ἢ ζῶν τ ’ ἄφες ἀντὶ τοῦ ταχύν, ἀπὸ τοῦ ζέω· τοὺς γὰρ ταχεῖς ζέοντας καὶ θερμοὺς λέγουσι. ταῦτα δέ φησιν ὁ Λάκων ὡς διαλεγομένου τοῦ αἰπόλου τῷ Μόρσωνι. καὶ τὸν ξένον ἐς πόλιν αὖθις ζῶν τ ’ ἄφες : τουτέστιν, ἵνα μὴ ὑπὸ τοῦ μέλους ὥσπερ ὑπὸ τῶν Σειρήνων κρατηθεὶς ἀπόληται. [5]

5 78/79c τοῦτο δὲ εἰρωνικῶς φησιν. ὦ Παιάν : ὢ τοῦ θαύματος.

5 80/81 ταὶ Μοῖσαί με φιλεῦντι : ἀρχὴ τῆς ᾠδῆς Κομάτα. φησὶ δὲ αὐτὸν μᾶλλον ὑπὸ τῶν Μουσῶν φιλεῖσθαι ἢ τὸν Δάφνιν. καὶ γὰρ ἔ μ ’ Ὡπόλλων : εἶτα ὁ Λάκων λέγει· καὶ γὰρ ἐμὲ ὁ Ἀπόλλων φιλεῖ.

5 83a τὰ δὲ Κάρνεα : Πράξιλλα (fgm. 7 Bergk Poet. lyr. gr. III 4 568) μὲν ἀπὸ Κάρνου φησὶν ὠνομάσθαι τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τοῦ Ἀπόλλωνος· Ἀλκμὰν (fgm. 103 Bergk ib. 67) δὲ ἀπὸ Καρνέου τινὸς Τρωϊκοῦ· Δημήτριος (fgm. 2 Gaede Demetrii Scepsii quae supers., Diss. ph.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Gryph. 1880, 18) δὲ ἀπὸ τοῦ κρᾶναι, ὅ ἐστιν ἐπιτελέσαι. φησὶ γάρ, ὡς Μενέλαος στρατεύσας εἰς Ἴλιον ηὔξατο τιμῆσαι αὐτόν, ἐὰν κρηήνῃ. Κάρνεα : Κάρνεια ἑορτὴ τελουμένη τῷ Καρνείῳ Ἀπόλλωνι κατὰ τὴν Πελοπόννησον, ἀπὸ Κάρνου μάντεως, ὃς ἔφησε τοῖς Ἡρακλείδαις· ἀπὸ δ’ αὐτοῦ Κάρνειον Ἀπόλλωνα προσαγορεύουσιν. [5]

5 83b ἡ δὲ ἱστορία παρὰ Θεοπόμπῳ (fgm. 321 Grenfell—Hunt Hellenic. Oxyrh. )· ὅτι τὸν αὐτὸν καὶ Δία καὶ ἡγήτορα καλοῦσιν Ἀργεῖοι διὰ τὸ κἀκεῖνον ἡγήσασθαι τοῦ στρατοῦ. τὸν οὖν Κάρνον οἱ Ἡρακλεῖδαι ἀπέκτειναν κατερχόμενοι εἰς Πελοπόννησον ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ στρατεύματος· ὃν ὕστερον ἐτίμησαν ὑπὸ λοιμοῦ φθειρόμενοι. οὗτος ὁ Κάρνος μάντις ὢν εἵπετο τοῖς Ἡρακλείδαις ἄσημα τούτοις μαντευόμενος· ὅντινα ἐκτραπεὶς εἷς τῶν Ἡρακλειδῶν, Ἱππότης ὄνομα, λόγχῃ βαλὼν ἀπέκτεινε. [5]

5 83c δι’ ὃν λοιμὸς ἐπεκράτησε τὴν Πελοπόννησον. ἀπελθόντες δὲ ἔλαβον KGLUEAPT χρησμὸν ἐξ Ἀπόλλωνος τιμῆσαι Κάρνειον Ἀπόλλωνα· καὶ τοῦτο ποιήσαντες ἐπαύσαντο τοῦ λοιμοῦ. ταύτην οὖν τὴν ἑορτὴν μέχρι τοῦ παρόντος καὶ οὗτοι καὶ οἱ μετοικήσαντες ἐκ Πελοποννήσου εἰς ἑτέρας πόλεις διὰ τὸν λοιμὸν ἐπιτελοῦσιν. τὰ δὲ Κάρνεα : ἔστιν ἑορτὴ Διὸς Κάρνεια ὀνομαζομένη. [5]

5 83d παρ’ Ἕλλησι δὲ τελεῖται διὰ τὸ τὸν δούρειον ἵππον ἐκ κρανείου εἶναι ξύλου. καί μ ’ ἁ παῖς ποθορεῦσα : ἡ Ἀλκίππη· αὕτη γάρ ἐστιν ἐρωμένη τοῦ Κομάτα.

5 85b ποθορεῦσα : Αἰολικόν· ὤφειλε γὰρ ὁρῶσα διὰ τοῦ ω τῆς δευτέρας συζυγίας. καί μ ’ ἁ παῖς ποθορεῦσα : καί με ἡ ἐρωμένη προσβλέπουσα.

5 85d ‘ τάλαν ‘ λέγει : ᾤκτειρε γὰρ ἰδοῦσα καὶ εἶπεν· ὦ τάλαν, πάσας μόνος ἀμέλγεις; τὸ φεῦ φεῦ ἐπὶ θαύματι κεῖται.

5 86/87b φεῦ φεῦ : θαυμαστικὸν ἢ σχετλιαστικόν. ταλάρως δὲ καλαθίσκους, ἐν οἷς τυροῦται τὸ γάλα.

5 86/87d περὶ αὑτοῦ δὲ τὸν λόγον ποιεῖται ὁ Λάκων τῇ κακοεννοίᾳ ἑαυτὸν παιδοπίπην εἰσάγων. ἐν ἄνθεσι : ἐν ἄνθει τῆς ἡλικίας χαίρει.

5 86/87e τοῦτο δὲ εἶπεν ὡς ὄντος αὐτοῦ παιδεραστοῦ. τὸ μὲν ἔξω· τοῖς ἄνθεσι τοῦ τυροῦ τὸν παῖδα τοῖς χείλεσι παραχρίει.

5 86/87f τὸ δὲ ἔσωθεν· ἐν τοῖς ἀνθώδεσι τόποις τὸν ἄνηβον παῖδα μολύνει ἀντὶ τοῦ βινεῖ. GUEAT βάλλει καὶ μάλοισιν : ἀντὶ τοῦ· πειρᾶταί με εἰς ἔρωτα ἐπαγαγέσθαι· τὸ γὰρ μῆλα βάλλειν ἐπὶ τούτου ἔτασσον.

5 88a KGUEAT ἁ Κλεαρίστα : ἡ Ἀλκίππη ἡ ἐρωμένη αὐτῷ ὡς θυγάτηρ Κλεαρίστου.

5 89[a] 〈 ποππυλιάσδει : 〉 ἀπὸ τοῦ ποππύζω παραγωγόν. U g E g P g ποππυλιάσδει : ποππύζει.

5 89[b] PT λεῖος ὑπαντῶν : ἡδύς.

5 91a 〈 ἐκμαίνει : 〉 τουτέστιν ἀνάπτεσθαι ποιεῖ με ὑπὸ τοῦ ἔρωτος. L g 〈 ἐκμαίνει : 〉 ἐρᾷ· τὸ πολὺ δὲ τοῦ ἔρωτος δηλοῖ διὰ τοῦ ἐκμαίνει.

5 91b U g E g ἐκμαίνει : ἐκμαίνεσθαι ποιεῖ.

5 91c PP m συμβλητὰ ἀντὶ τοῦ συγκρίσεως ἄξια.

5 92a λέγει δὲ τὴν διαφορὰν τῆς θηλείας ἀπὸ τοῦ ἄρρενος. KGU g E g οὐ συμβατά, οὐ συγκρίσεως ἄξια.

5 92b P κυνόσβατος : φυτάριον ὅμοιον ῥοιδίῳ ἔχον τὸν καρπόν.

5 92c ἔστι δὲ μεταξὺ θάμνου καὶ δένδρων, παρόμοιον ταῖς ῥοιαῖς, 〈τὸ δὲ φύλλον〉 ἀκανθῶδες· οὕτως φησὶ Θεόφραστος (Hist. plant. III 18, 4). ἔστι δὲ ὁ κυνάκανθος. κυνόσβατος : ἄγριον ῥόδον.

5 92e ἀνεμώνα : τὴν ἀνεμώνην Νίκανδρός (fgm. 65 Schneider p. 68) φησιν ἐκ τοῦ Ἀδώνιδος αἵματος ῥυῆναι. Κρατεύας (cf. Wellmann Abh. d. Ges. d. Wiss. zu Gött., Phil.— hist. Kl. N. F. 2, 1897, 30) δὲ δύο φησί, τὴν μὲν ἄνθος ἔχουσαν μέλαν, τὴν δὲ φοινίκεον. Σωσίβιος (fgm. 21 Mueller Fgm. hist. gr. II 629) δὲ παρὰ Λάκωσι τὰς ἀνεμώνας φαινίδας καλεῖσθαί φησι. ἀνεμώνα : ἄνθος ἄνοδμον, ὅ φασιν ἀναδοθῆναι ἐκ τοῦ αἵματος Ἀδώνιδος.

5 92[g] 〈 ἀνεμώνα : 〉 ὁ πετεινὸς καλούμενος, ὅς ἐστι βοτάνη, ἤγουν ἡ κουτζουνάδα. πρὸς ῥόδα : ῥόδον παρὰ τὸ θᾶττον ἀπορρεῖν· ῥοῶδες γάρ ἐστιν ἤτοι συντόμως φθειρόμενον.

5 93a ἢ 〈ἀπὸ τοῦ ῥεῖν〉 ἀπ’ αὐτοῦ τὴν ὀδμὴν ἢ ἀπὸ τοῦ ὄζω. τῶν ἄνδηρα : νῦν ἀντὶ τοῦ ἄκρα· τῶν γὰρ ῥόδων τὰ ἄκρα καὶ πρωτεύοντα φύονται ἐν ταῖς αἱμασιαῖς.

5 93b κυρίως δὲ ἄνδηρα τὰ ἐπάνω τῶν ὀχετῶν τῶν ὑγρῶν, ἤγουν τὰ χείλη τοῦ ποταμοῦ, παρὰ τὸ ἄνω τῶν διερῶν εἶναι· διερὰ γὰρ τὰ δίυγρα. τῶν ἄνδηρα πα ρ ’ αἱμασιαῖσι πεφύκει : ὧντινων, τῆς κυνοσβάτου καὶ τῆς ἀνεμώνης, τὰ ἄνθη ἢ τὰ φυτά.

5 93c κυρίως δὲ ἄνδηρα τὸν ἔνυγρον τόπον καὶ τὰ τῶν ποταμῶν ἀναχώματα γίνωσκε. φυλάσσει : γράφεται καὶ πεφύκε ι .

5 93[d] K οὐ δ ’ ἀκύλοις : ταῖς τῆς πρίνου βαλάνοις· ἄκυλος γὰρ ὁ τῆς πρίνου καρπός.

5 94/95a αἱ μὲν γὰρ ἄκυλοι λεπτόσαρκοι, φησί, καὶ ξηραί, αἱ δὲ 〈 ὀρομαλίδες 〉 ἡδεῖαι. φησὶν οὖν, ὅτι ὁ μὲν Κρατίδας μελίχρους, ἡ δὲ Κλεαρίστη ἀειδής. KGUEAT ὀρομαλίδες : τὰ ὄρεια μῆλα.

5 94/95b Ἀσκληπιάδης δὲ ὁμομαλίδες γράφει· ἔστι δὲ τὰ συνακμάζοντα τοῖς μήλοις σῦκα. αἱ δὲ μελιχραί : τινὲς οὕτως ἑρμηνεύουσιν· αἱ μὲν ἔχουσι λεπτὸν λέπυρον· αἱ δὲ μελιχραί, ἤγουν χροιὰν ἔχουσαι μέλιτος, κιτρινοειδεῖς· ὁ δὲ καρπὸς τῆς πρίνου κοκκοειδής ἐστι.

5 94/95c ποιεῖ οὖν ὁ Λάκων τὴν μὲν Κλεαρίσταν κιτρινοειδῆ καὶ GUEAT οἱονεὶ ἄμορφον, τὸν δὲ Κρατίδαν κοκκοειδῆ καὶ οἱονεὶ εὔμορφον. ἄκυλος ὁ καρπὸς τῆς πρίνου.

5 94/95d ὀρομαλίδες ὄρεια μῆλα. λεπτὸν ἀπὸ πρίνοι ο , παχὺ δὲ πρὸς τὰς ὀρομαλίδας. P φάσσαν : ὄνομα ὀρνέου.

5 96 Ἀλέξανδρος δέ φησιν KGUEAT ὁ Μύνδιος (Περὶ ζῴων fgm. 19 Wellmann Herm. 26, 1891, 552), ὅτι ἡ μὲν φάσσα ὑποκυάνεον ἔχει τὴν κεφαλὴν καὶ μᾶλλόν γε ἐμπόρφυρον, τῶν τε ὀφθαλμῶν λευκῶν ὄντων τὸ ἐν αὐτοῖς μέλαν στρογγύλον ἔχει. ἀρκεύθου : ὄνομα δένδρου ἀκάρπου.

5 97a φησὶ γὰρ ὁ Θεόφραστος (Hist. plant. I 9, 3), ὅτι ‘τῶν ἀγρίων‘ ἐστὶν ‘ἐλάτη, πεύκη, ἄρκευθος, μῖλος, θυΐα καὶ ἣν Ἀρκάδες καλοῦσι φελλόδρυν‘. ἐκ τᾶς ἀρκεύθω : ἡ ἄρκευθος εἶδος φυτοῦ ἀκανθώδους.

5 98a ὁππόκα πεξῶ : ἐντεῦθεν καὶ πόκος· ἐτίθεσαν οὖν ἐπὶ τοῦ ξαίνειν. πεξῶ : κουρεύσω.

5 99a τὰν πέλλαν : τὴν πορφυρᾶν οἶν, τὴν μέλαιναν. τὴν γοῦν τοῦ σώματος ἐπιφάνειαν, ἡνίκ’ ἂν δι’ ὑποδρομὴν αἵματος μελαίνηται, πελίωμα καλοῦσιν· ὃ τῇ Ἀφροδίτῃ συμβεβηκέναι φησὶν Ὅμηρος (Ε 354)· ‘μελαίνετο δὲ χρόα καλόν‘. τὰν ὄϊν τὰν πέλλαν : τὴν μέλαιναν.

5 99b τὴν γὰρ τοῦ σώματος ἐπιφάνειαν, ὅτε ὑφ’ αἵματος μελανθῇ, πελίδνωμα καλοῦμεν. τὰν πέλλαν : σκοτεινήν, μέλαιναν.

5 99c K σίτ τ ’ ἀπὸ τᾶς κοτίνω : τοῦτο μεταξὺ τῆς ᾠδῆς ἐπεφώνησε πρὸς τὰς αἶγας· ἀναχωρεῖτε τῆς ἀγριελαίου.

5 100 KGUEAPT οὐκ ἀπὸ τᾶς δρυός : ἀπόστητε, φησίν, ἀπὸ τῆς δρυὸς καὶ κατὰ τοῦτο τὸ μέρος βόσκεσθε τῆς Ἰταλίας, ἔνθα τὸ ὄρος ὁ Φάλαρος πρὸς ἀνατολὰς κείμενον.

5 102/103a Ἀσκληπιάδης δέ φησι χωρίον τὸ 〈καὶ〉 νῦν καλούμενον Φάλαρον. KGUEAT Κώναρος : ὁ κριὸς διὰ τὸ τὰ κέρατα ἔχειν τραχέα καὶ περιφερῆ ὡς κώνους ἤτοι στροβίλους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 102/103c ὁ Κώναρος : ὁ κριὸς παρὰ τὸ κέρατα ἔχειν κωνοειδῆ. PT ἅ τε Κιναίθα : τοῦτο τῆς οἰός ἐστιν ὄνομα.

5 102/103d τινὲς δὲ τὴν εὐκίνητον ἀκούουσιν· [αἰθὸν γὰρ τὸ πυρῶδες] αἴθει γὰρ ἐν κινήσει ὥσπερ τὸ πῦρ. ὅθεν Ὅμηρος τοὺς λέοντας αἴθωνάς φησι. KGUEAT Κιναίθα : ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος, ἤγουν ἡ ταχεῖα ὄϊς, παρὰ τὸ κινῶ καὶ τὸ αἴθω τὸ καίω.

5 102/103e PT τουτί : ἐνταῦθα.

5 102/103[g] ὡς : οὕτως ὥσπερ. Φάλαρος : ὄνομα ὄρους εἰς ἀνατολὴν κειμένου.

5 102/103h KGUEAT ὡς ὁ φάλαρος : φάλαρον λέγει τὸν λευκὸν κριόν.

5 102/103i καὶ Ὅμηρος (N 799) κύματα ‘φαληριόωντα‘ λέγει τὰ λευκαινόμενα. PT 〈 φάλαρος : ὁ 〉 λευκὸς ἢ ὁ φολιδωτός.

5 102/103k U g E g P g 〈 φάλαρος : 〉 ἤγουν ὁ φολιδωτὸς ἢ τὸ ὄρος τῆς Ἰταλίας.

5 102/103l L g 〈 γαυλός : 〉 τὸ γαλακτοδόχον ἀγγεῖον.

5 105a ἔργον Πραξιτέλευς : δύο φασὶ Πραξιτέλεις, τὸν μὲν ἀρχαιότερον ἀνδριαντοποιόν, τὸν δὲ νεώτερον ἀγαλματοποιόν. οὗτος δὲ ἦν ἐπὶ Δημητρίου τοῦ βασιλέως, περὶ οὗ φησιν ὁ Θεόκριτος. ἀντὶ δὲ τοῦ εἰπεῖν θαυμαστὸν λέγει τὸ ὄνομα τοῦ τεχνίτου ὡς ἐξάκουστον.

5 105[c] 〈 τᾷ παιδ ί . 〉 τῇ ἐρωμένῃ Κλεαρίστᾳ. τᾷ παιδὶ δέ : τῇ Ἀλκίππῃ.

5 106a κύων φιλοποίμνιοσ 〈 , ὃν λύκος ἄγχει 〉 : κυρίως ἐπὶ τοῦ ζῴου ἀκουστέον· ἢ ἐπὶ τοῦ ἱμάντος τοῦ περιδεδεμένου τοῖς τραχήλοις τῶν κυνῶν. ὃς λύκως ἄγχει : πνίγει καὶ ῥέγχειν ποιεῖ.

5 106b 〈 φιλοποίμνιος : 〉 ἐν τῇ φροντίδι τοῦ φυλάσσειν τὰ θρέμματα· δοκεῖ δὲ ὄνομα εἶναι κυνός. ἐντὶ γὰρ αὖαι : ξηραί, ὥριμοι.

5 109a γράφεται καὶ ἄζαι · ἐν τοῖς ἀγγείοις γὰρ ἐπειδάν τι καταλειφθῇ ξηρανθέν, ἄζα λέγεται. γράφεται καὶ αὐτα ί , ἵν' ᾖ μόναι. ἐντὶ γὰρ αὖαι : γράφεται καὶ ἄξαι : καὶ γὰρ τὸ καταλειφθὲν ἐν τοῖς ἀγγείοις ἄζα λέγεται.

5 109c 〈 αὖαι : 〉 πέπειροι, ὥριμοι, ἕτοιμοι πρὸς τὴν τρύγην. 〈 αὖαι : 〉 πέπειροι, τουτέστιν ὥριμοι καὶ ὅσον εἰκὸς θερμανθεῖσαι τῷ ἡλίῳ.

5 110/111a ὁρῆτε τὸν αἰπόλον : οὕτως φησίν· ὡς ὁρᾶτε τὸν αἰπόλον παρερεθίζοντά με εἰς ἅμιλλαν, οὕτω δὴ καὶ ὑμεῖς ἐρεθίζετε τοὺς θεριστὰς εἰς ἐργασίαν. οὕτως χὔμμες : οὕτως καὶ ὑμεῖς εἰς ἔριν ἄγετε τοὺς θεριστάς.

5 110/111b P θὴν καὶ ἐπιπολύ· ἢ τὸ θὴν ἀντὶ τοῦ δή.

5 110/111c PT τὰς δασυκέρκως : τὰς πολυτρίχους ἐχούσας οὐράς· κέρκος γὰρ ἡ οὐρά.

5 112/113a KGEAT μισέω τὰς δασυκέρκος : τινὲς οὕτω κατὰ τὸ ἔσω νοούμενον λέγουσι· μισῶ τοὺς ἄνδρας τοὺς ἐνήλικας καὶ δασυπύγους, οἳ φοιτῶντες διὰ τῆς νυκτὸς τὰ τοῦ Μίκωνος ῥαγίζοντ ι , ἤγουν ἐσθίουσι, δηλονότι ὑπ' αὐτοῦ βινούμενοι.

5 112/113b LEAT γράφεται δὲ Μίκων τὸ μι ι . ἀλώπηξι δὲ εἴκασε τοὺς τοιούτους ὡς πανούργους καὶ δολερούς. ῥαγίζοντι : τὰς ῥᾶγας ἀναλέγουσιν. [5]

5 112/113c οὕτως δὲ ῥᾶγας Ἀττικῶς διὰ τοῦ α . KGEA δι' ἀλληγορίας ὁ Κομάτας φησίν, ὅτι ὁ Λάκων ἐν τοῖς Μίκωνος κατὰ πᾶσαν ἑσπέραν πορευόμενος περαίνεται.

5 112/113d KGEAPT ῥαγίζοντι : τὰς ῥᾶγας ἀποτρώγουσι.

5 112/113e KGLEA αἳ τὰ Μίκωνος ἀεὶ φοιτῶσαι : λείπει χωρία.

5 112/113f τὰ ποθέσπερα : τὰ δυτικά. ῥαγίζονται : λυμαίνονται, τρυγῶσι. P 〈 τὰ Μίκωνος : 〉 ἀμπελόφυτον τόπον, τὰς ἀμπέλους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 112/113g L g E g καὶ ὁ ἕτερος ἐπὶ τῆς αὐτῆς ἐννοίας ἐμφαίνων τοὺς περαίνοντας αὐτὸν κατὰ τὴν συκάδα φησίν.

5 114/115b ὑπανέμιοι : ὑπαέριοι. γράφεται ἦ ῥα μέμν ᾳ .

5 116/117b ὅ τ ’ ἐγώ τυ κατήλασα : τὰς προειρημένας ἐμφάσεις διὰ τούτου βεβαιοῖ λέγων· ἢ οὐ μέμνῃ, ὅτε σε ἐπέραινον κατ’ ἐκείνην τὴν δρῦν, τὺ δὲ σεσαρὼς πρὸς ἐκείνην κιγκλίζε υ ; τοῦτο δὲ μεταφορικῶς εἴρηται ἀπὸ τῆς ἐν τῇ θύρᾳ κιγκλίδος. ἔστι δὲ κόραξ σιδηροῦς ἐμπίπτων εἰς τὸ μέσον σιδηροῦν καὶ ἐπικροτῶν τὴν θύραν. κιγκλίζευ : προσεδονοῦ· ἀπὸ τοῦ κίγκλου οὕτως καλουμένου ὀρνέου, ὃ νῦν σεισοπυγίδα καλοῦσιν, ἀφ’ οὗ ἡ λέξις μετήνεκται. [5]

5 116/117c κιγκλίζειν δὲ τὸ κινεῖν τὴν ὀσφύν φασιν. ὥσπερ δὲ παρὰ τὸ γνῶ γίγνω, οὕτως παρὰ τὸ κλῶ κίγκλω καὶ κίγκλος. ἐκιγκλίζευ προσεδονοῦ φησι· ἀπὸ μεταφορᾶς [τοῦ κώλου] τοῦ κίγκλου, ὃν ἔνιοι καλοῦσι σεισοπυγίδα, ὅθεν καὶ τὸ κινεῖν τὴν ὀσφὺν κιγκλίζειν φασίν. [5]

5 118/119a τοῦτο μὲν οὐ μέμναμαι : τὸ μέν, ὡς σὺ φῄς, πεπεράνθαι με οὐ μέμνημαι· ἡνίκα μέντοι δήσας ὁ Εὐμάρας ἐνταῦθα εὐμελῶς καὶ εὐτόλμως σε ἐμάστιξεν, ἀκριβῶς οἶδα. Εὐμάρας ἐκάθηρε : περὶ οὗ μοι εἶπας, οὐ μέμνημαι· τοῦτο δὲ γινώσκω, ὅτι ὁ δεσπότης σου δήσας σε ἐπύγιζεν, ὅπερ δηλοῖ τὸ ἐκάθηρ ε .

5 118/119b ἢ ἐκάθηρεν ἀντὶ τοῦ ἔτυπτε καὶ ἐξέδερε. καὶ Ἀριστοφάνης (fgm. 911 b Kock Com. att. fgm. LEAT III 726 )· ‘πέδοι τὰς πλευρὰς ἐκάθηρεν‘. ὅκα μάν ποκα τεῖνδέ τυ δήσας Εὐμάρας ἐκάθηρεν : ὅτε δὲ ὁ Εὐμάρας ὁ σὸς δεσπότης δεσμήσας σε ἐμαστίγωσεν, ἀκριβῶς ἐπίσταμαι. [5]

5 118/119[d] γράφεται ὅκα μάν ποκα τίν τοι δήσα ς . K ἐκάθηρεν : ἐπαίδευσεν, ἐμαστίγωσεν.

5 118/119[e] PT ἤδη τις , Μόρσων : ὦ Μόρσων, φησί, ἤδη τις μέλλει λυπεῖσθαι παρ’ ἡμῶν οὐχ ὑβρισθείς· ἢ οὐχὶ παρῄσθου πρότερον τοῦτον ὑβρίσαντα; KG παρῄσθευ : ὡς οὐκ ἐνεγκὼν τὴν ὕβριν μέλλει λοιδορεῖσθαι καὶ προσημαίνεται τούτου αὐτοῦ λαμβάνων Μόρσωνα μάρτυρα τὸν κριτήν, τοῦ προϋβρίσθαι πρῶτος αὐτός.

5 120[c] οὐχὶ παρῄσθευ : οὐκ ἐνόησας. PT σκίλλας ἰὼν γραίας : ὁ λόγος πάλιν πρὸς τὸν Λάκωνα.

5 121a ἄξιος εἶ, φησί, μᾶλλον ἀπελθεῖν εἰς τὰ μνημεῖα καὶ τὰς γεγραιωμένας σκίλλας τίλλειν ἤπερ ἐμοὶ ἐρίζειν· αὗται γὰρ KGLEAPT παντελῶς ἄχρηστοί εἰσιν. καλοῦνται δὲ σκιλλοκρόμυα. γραίας : οὕτως ἡ ὕβρις· γεγηρακυίας καὶ σκληρωθείσας τῷ χρόνῳ σκίλλας ἔλθοις εἴς τινα τόπον τίλλων.

5 121b φησὶ δὲ τοῦτο ὡς ἐπίπονον καὶ μοχθηρόν. σκίλλας ἰὼν γραίας : τοῦτό φησι κατὰ τὸ ἔσω νοούμενον· ἀπελθὼν τίλλε, φησί, τὰς παλαιὰς τρίχας τοῦ τάφου σου, ἤγουν τῆς πυγῆς σου.

5 121d σκίλλας ἰὼν γραίας : σκίλλα εἶδος βοτάνης πάντῃ ἀχρήστου. γραίας δὲ τὰς γεγηρακυίας καὶ ξηράς. 〈 σκίλλας : 〉 φυτὸν λυσσῶδες.

5 121[f] τίλλοις : κόπτοις. 〈 κνίζω : 〉 τιτρώσκω, λυπῶ, καθάπτομαι.

5 123/124a κυκλάμινος βοτάνιόν ἐστι ποιῶδες, λεπτόρριζον, ὅπερ χλιανθὲν ποιεῖ πρὸς χίμετλα. οἱ δὲ τὸν τῆς κομάρου καρπόν, ὅνπερ ἐάν τις πολὺν φάγῃ κεφαλαλγεῖ. κυκλάμινος οὐχὶ πάντως χαλεπῶς ὀρύσσεται.

5 123/124b ἀλλ’ ὥσπερ ἀπειροκάλως ἐκεῖνος κατηράσατο, οὕτω καὶ οὗτος ἀπὸ τοῦ παραπεσεῖν εἰς τὴν κυκλάμινον. τὰν κυκλάμινον : ἡ κυκλάμινος βοτάνη ἐστὶ παντελῶς ἄχρηστος.

5 123/124d Ἱμέρα : ποταμὸς Σικελίας. τοῦτο δέ φησι διὰ τὸ ποτὲ μὲν ἁλυκάς, ποτὲ δὲ γλυκείας ἔχειν 〈πηγάς. ἔστι δὲ καὶ πόλις ὁμώνυμος,〉 δι’ ἧς ῥέει 〈ὁ ποταμόσ〉. κατὰ μέν τι μέρος ἁλυκόν, κατὰ δέ τι πότιμον.

5 123/124e κρήνην δέ τινες Ἰταλίας φασὶν εἶναι. 〈 Ἱμέρα : 〉 ὄνομα ποταμοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 123/124f ἔστι δὲ καὶ ὄνομα πόλεως Σικελίας. L g E g ἐς τὸν Ἄλεντα : ὁ Ἄλεις ποταμὸς Ἰταλίας, ὁ δὲ Κρᾶθις ποταμὸς περὶ Σύβαριν.

5 123/124g εὔχεται δὲ διὰ τὴν ἐρωμένην. πορφύροις : βλύζοις.

5 125b 〈 πορφύροις : 〉 κεκραμένος εἴης. K g L g E g σία : λάχανον ὅμοιον σελίνῳ ἐν αὐτῷ τῷ ὕδατι τρεφόμενον.

5 125d τὰ δέ τ ’ οἴσια : ἀνθύλλιά εἰσι παντελῶς ἄκαρπα, πρὸς τοῖς ποταμοῖς φυόμενα. GLEA τὰ δέ τοι σία : σίον βοτάνη τίς ἐστιν ἄκαρπος.

5 125e καὶ Ὅμηρος (ε 72)· ‘ἀμφὶ δὲ λειμῶνος μαλακοῦ σία‘· τὸ γὰρ ἴον ἐν τοῖς λειμῶσιν οὐ πέφυκε γίνεσθαι, ἀλλὰ τὸ σίον. PT ῥείτω 〈χά Συβαρῖτισ 〉 : πηγὴ Ἰταλίας περὶ Θούριον.

5 126a KL g E g ῥείτω χά Συβαρῖτις ἐμὶν μέλι : πηγὴ ἐν Σικελίᾳ.

5 126b PT ἁ παῖς : ἡ δούλη.

5 127b τᾷ κάλπιδι : καὶ ἡ ἐμή, φησίν, ἐρωμένη τῇ ὑδρίᾳ τὸ ῥέον ἀπὸ τῆς κρήνης μέλι ἀντλήσοι. KG 〈 τᾷ κάλπιδι : 〉 τῇ κάλπιδι ἤτοι τῷ καδδαρίῳ.

5 127d τᾷ κάλπιδι : κάλπις ἡ ξύλινος ὑδρία. PT 〈 κάλπιδα : 〉 ἀγγεῖον ὑδροφόρον.

5 127e E g κύτισο ς , αἴγιλο ς , σχῖνος θάμνοι, οὓς ἐπινέμονται αἱ αἶγες.

5 128/129b πατέοντι : ἢ ἐσθίοντι ἢ πατοῦντι. κέοντι : βόσκοντι θάμνον.

5 128/129[d] κόμαρος εἶδος δένδρου. ἐν κομάροισι κέονται : κεῖνται καὶ καθέζονται.

5 130a πάρεστι μὲν ἁ μελίτεια : μελίτεια εἶδος βοτάνης οὕτως ὀνομαζομένης· ἔστι δὲ γλυκώδης. ἁ μελίτεια : ἤγουν ἡ μελιτόεσσα· ἔστι δὲ ἡ μελίτεια εἶδος βοτάνης γλυκιζούσης.

5 130c 〈 μελίτεια : 〉 εἶδος ἄνθους γλυκώδους. ῥόδα κισθός 〈.

5 131a ..〉 περί τε τὰ γόνατα τῶν τράγων καὶ τὸν πώγωνα πησσόμενα. G ἔστι δὲ κισθὸς εἶδος βοτάνης ἀνθοφορούσης ἐοικὸς ῥόδοις κατὰ τὸ ἄνθος.

5 131c καὶ ὡς ῥόδα κισθὸς ἐπανθεῖ : κισθός ἐστιν εἶδος βοτάνης ἀνθώδους ἐοικυίας ῥόδοις. ἐν ἑτέροις δὲ ῥοδάκισσος γράφεται ἓν μέρος λόγου. ἔστι δὲ καὶ αὕτη τῶν θάμνων, γλυκῶδες ἄνθος προϊεμένη. περὶ τὰ γόνατα δὲ τῶν τράγων καὶ τὸν πώγωνα πήσσεται. οὐ θεμιτόν : ὡς οὐ θέμις κίσσας ἀηδόνι φιλονεικεῖν οὐδ’ ἔποπας πρὸς κύκνους, οὕτως οὐδὲ σὲ πρὸς ἐμέ. [5]

5 136/137a σὺ δὲ ἔοικας φιλόνεικός τις καὶ φίλερις εἶναι. KGL g U g E g P g T κίσσα εἶδος ὀρνέου ἀμούσου, ἐπιθυμητικοῦ, ποικίλου.

5 136/137b ὅθεν τὸ κισσᾶν ἐπὶ τῶν γυναικῶν παραλαμβάνουσι, παρόσον αἱ γεννῶσαι ἀηδίζονται πρὸς τὸ ποιεῖν 〈...〉 . οὐ δ ’ ἔποπας : ἔποψ εἶδος ὀρνέου κακοφώνου.

5 136/137c PT φιλεχθής : εἰς ἔχθος καὶ μῖσος ἄγων τοὺς φίλους.

5 136/137d KPT παύσασθαι κέλομαι : κρίνει.

5 138/139[a] P τὶν δὲ Κομᾶτα δωρεῖται Μόρσων τὰν ἀμνίδα : σοὶ δὲ τῷ νικήσαντι δίδωσι τὸ ἔπαθλον.

5 138/139[b] PT φριμάσσεο : φριμαγμὸν ἀποδίδου μεθ’ ἡδονῆς, τουτέστι βρενθύου καὶ ἐναβρύνου, ὦ πᾶσα ἀγέλη.

5 141/143a πεποιημένη δὲ ἡ λέξις· τοιοῦτος γὰρ δοκεῖ εἶναι ὁ ἦχος τοῦ KGLUEAT πταρμοῦ τῶν αἰγῶν. φριμάσσεο : οὐ κυρίως τῇ λέξει κέχρηται.

5 141/143b φριμαγμὸς μὲν γάρ ἐστι κυρίως ἡ τῶν ἵππων 〈φωνή〉 , βληχὴ δὲ αἰγῶν καὶ προβάτων. τῷ αὐτῷ ἁμαρτήματι περιπέπτωκε καὶ Εὔπολις ἐν Αἰξίν (fgm. 17 b Kock Com. att. fgm. III 719). φριμάσσεο : τουτέστι μεθ’ ἡδονῆς σκίρτα, ἐπαίρου, πᾶσα ἀγέλη.

5 141/143c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δὲ φριμάσσω ἀπὸ τοῦ ἤχου τῶν αἰγῶν ὠνοματοπεποίηται. τὸ δὲ φριμάσσω λέγεται ἐπὶ τῶν ἵππων· κατὰ ὀνοματοποιΐαν δὲ τοῦτο ἀπὸ τοῦ ἤχου. 〈 φριμάσσεο : 〉 ἐπὶ τῶν ἵππων τὸ φριμάσσεσθαι· νῦν δὲ ἀντὶ τοῦ σκίρτα, ἵστασο ἐν ἡδονῇ.

5 141/143e καχαξῶ : ἀντὶ τοῦ· καὶ ἐγὼ σὺν ὑμῖν καταγελάσω τοῦ Λάκωνος. 〈 κὴγὼν γὰρ ἴ δ ' ὡς : 〉 γράφεται κὴγὼ μὲν ἴ δ ' ὡ ς .

5 141/143[g] 〈ὧδέ πο κ ' ἤδη : 〉 γράφεται ὅττι πο κ ' ἤδ η . ἀνυσάμην : ἐκτησάμην.

5 144b ἁλεῦμαι : ἐκ περιχαρείας, φησίν, ὦ αἶγες, εἰς τὸν οὐρανὸν ἀναβήσομαι. ἐς οὐρανὸν ὔμμιν ἁλεῦμαι : εἰς οὐρανὸν σὺν ὑμῖν πηδήσω.

5 145a κερουχίδες αἱ κεροφόροι, κερουλίδες αἱ οὖλα κέρατα ἔχουσαι, κερουλκίδες αἱ ἀπὸ τῶν κεράτων ἑλκόμεναι. κερουχίδες : κέρατα ἔχουσαι ἢ κεκρατημέναι τοῖς κέρασιν.

5 147-150a ὁ λευκίτας : πεποίηται τὸ ὄνομα ἀπὸ τῆς λευκότητος τοῦ τράγου. ὡς ἀπὸ τοῦ μέσος μεσίτης καὶ ὁδὸς ὁδίτης, οὕτω καὶ ἀπὸ τοῦ λευκὸς λευκίτης. KGLUEAT κορυπτίλος ὁ κέρασι πλήττων.

5 147-150b KU g οὗτος ὁ λευκίτας ὁ κορυπτίλος : ἡ ἀπότασις τοῦ λόγου πρὸς τὸν τράγον ἐπιτρέχοντα ταῖς αἰξὶ καὶ τοῖς κέρασι τύπτοντα, μάχιμον.

5 147-150c λευκίτας δὲ ὁ λευκὸς παραγωγῶς ὡς ἀπὸ τοῦ ὁδὸς ὁδίτης, κορυπτίλος ὁ κεράστης ἢ ὁ τοῖς GLUEA κέρασι πλήττων. ὁ κορυπτίλος : ὁ πλήκτης ἀπὸ τοῦ κορύπτω. [5]

5 147-150d πρὸς τὸν τράγον δὲ τοῦτό φησιν ἐπιτρέχοντα ταῖς αἰξὶ καὶ τοῖς κέρασι τύπτοντα. PT φησὶν οὖν· ἐὰν τολμήσῃς ὀχεῦσαι, πρινή με θῦσαι ταῖς Νύμφαις ἣν ἐνίκησα ἀμνὸν τὸν Λάκωνα, θλάσω σου τὰ αἰδοῖα.

5 147-150e KGLUEAT εἴ τι ν ' ὀχευσεῖς : εἴ τινα ἀναβιβάσειας.

5 147-150f KGU φλασῶ τυ : θλάσω Δωρικῶς.

5 147-150g L g U g E g P καλλιερῆσαι : θῦσαι.

5 147-150i ὅ δ ' αὖ πάλιν : ὁ τράγος, φησί, πάλιν τὰς αἶγας τύπτει. ἀλλὰ ἐὰν οὐ θλάσω σε, γενοίμην ἀντὶ Κομάτα Μελάνθιος. PT 〈 ὅ δ ' αὖ πάλιν : 〉 λείπει τὸ ὀχεύει.

5 147-150k K g L g U g E g ἀλλὰ γενοίμαν : ἀλλ' ἐὰν μή σε θλάσω, γενοίμην ἀντὶ τοῦ Κομάτα Μελάνθιος καὶ κολασθείην ὥσπερ ἐκεῖνος ὑπὸ Εὐμαίου καὶ Φιλοιτίου ἐν τοῖς Ὀδυσσέως οἴκοις (χ 474sqq.

5 147-150l ). KGLUEAT τὸν παρ' Ὁμήρῳ φησὶ Μελάνθιον.

5 147-150m ἦν γὰρ δοῦλος LUEAPT τῶν μνηστήρων τῆς Πηνελόπης. Βουκολιασταί.

6 t 〈α′〉 Προσδιαλέγεται Ἀράτῳ τινὶ φίλῳ ἑαυτοῦ ὁ Θεόκριτος, οὗ μέμνηται καὶ ἐν τοῖς Θαλυσίοις (VII 98)· '"Αρατοσ', λέγει, 'ὁ τὰ πάντα φιλαίτατοσ' καὶ πάλιν (122)· 'μηκέτι φρουρέωμες ἐνὶ προθύροισιν, Ἄρατε'.

6 arg a δύναται δὲ οὗτος εἶναι ὁ τὰ Φαινόμενα γράψας· συγκεχρόνικε γὰρ τῷ Θεοκρίτῳ καὶ εἰκὸς 〈φίλουσ〉 ἀλλήλων γενέσθαι. διάκεινται δὲ δύο ἄνδρες ᾄδοντες ἐν Σικελίᾳ, Δαμοίτας καὶ Δάφνις, συνελάσαντες τὰ θρέμματα εἰς ἓν κατὰ μεσημβρίαν. [5]

6 arg b ᾄδουσι δ' ἀμφότεροι τὸν Πολυφήμου τοῦ Κύκλωπος ἔρωτα τὸν ἐπὶ Γαλατείᾳ μερισάμενοι τὴν ὑπόθεσιν. καὶ ὁ μὲν Δάφνις [τὸν Κύκλωπα] μιμεῖταί τινα διαλεγόμενον πρὸς αὐτὸν περὶ τῆς Γαλατείας, ὁ δὲ Δαμοίτας τὸν Κύκλωπα ὑποκρινόμενος ἀποκρίνεται οἵους ἂν Πολύφημος λόγους ἔφη πρὸς τοὺς ὑπ' ἐκείνου εἰρημένους. Δάφνις καὶ Δαμοίτας θέρους ὄντος μεσημβρίας εἰς ἓν τὰ θρέμματα συνελαύνουσι καὶ ἀμοιβαίως τὴν περὶ Κύκλωπος ᾄδουσιν ὑπόθεσιν. [5]

6 arg c τοῦ δὲ Ἀράτου, ᾧ προσφωνεῖ, καὶ ἀλλαχόθι μνημονεύει, ἔνθα πρὸς Ἀγεάνακτα τὸν Μιτυληναῖον KU ὁμιλεῖ (VII 98)· '"Αρατος ὁ τὰ πάντα φιλαίτατοσ'. καὶ Δάφνις μὲν ἀρχὴν τῆς ᾠδῆς ὡς πρὸς τὸν Πολύφημόν φησιν· ὁ δὲ Δαμοίτας τὴν ἀπόδοσιν ποιούμενος ἀποκρίνεται ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ Πολυφήμου προσώπου δῆθεν. τὰ δὲ πράγματα ὑπόκεινται ἐν Σικελίᾳ. Δαμοίτας καὶ Δάφνις θέρους ὄντος μεσημβρίας εἰς ἓν τὰ θρέμματα συνελαύνουσι καὶ ἀμοιβαίως τὴν περὶ Κύκλωπος ὑπόθεσιν ᾄδουσιν. [5]

6 arg d καὶ ἄρχεται μὲν τῆς ᾠδῆς ὁ Δάφνις ὡς πρὸς τὸν Κύκλωπα· ὁ δὲ Δαμοίτας τὴν ἀπόδοσιν ποιούμενος PT ἀποκρίνεται ἐκ τοῦ προσώπου τοῦ Πολυφήμου δῆθεν. τὰ πράγματα ἐν Σικελίᾳ. τοῦ δὲ Ἀράτου, ᾧ προσφωνεῖ, καὶ ἐν τοῖς Θαλυσίοις [καὶ ἀλλαχόθι] μνημονεύει (VII 98sqq. [5]

6 arg e ). δύναται δὲ καὶ οὗτος εἶναι ὁ τῶν Φαινομένων ποιητής. P Δοῦρίς (fgm.

6 arg f 43 Mueller Fgm. hist. gr. II 479) φησι διὰ τὴν εὐβοσίαν τῶν θρεμμάτων καὶ τοῦ γάλακτος πολυπλήθειαν τὸν Πολύφημον ἱδρύσασθαι ἱερὸν παρὰ τῇ Αἴτνῃ Γαλατείας· Φιλόξενον δὲ τὸν Κυθήριον (Poet. lyr. gr. III 4 609) KG 1.2 LUEA ἐπιδημήσαντα καὶ μὴ δυνάμενον ἐπινοῆσαι τὴν αἰτίαν ἀναπλάσαι, ὡς ὅτι Πολύφημος ἤρα τῆς Γαλατείας. τοῦτό φησιν ὁ ποιητὴς πρὸς τὸν Ἄρατον. [5]

6 2/3a Ἄρατε : πρὸς τὸν Ἄρατον τὸν ποιητὴν τὸν τὰ Φαινόμενα γράψαντα· ἰσόχρονος γὰρ ἦν Θεοκρίτῳ. ἄλλοι δέ φασι· πρός τινα οὕτω καλούμενον. πο κ ' Ἄρατε : εἰκὸς τὸν ἀστρονόμον Ἄρατον εἶναι· καὶ γὰρ ἰσοχρονήκει ὁ Θεόκριτος αὐτῷ.

6 2/3b οὗ μέμνηται ἐν Θαλυσίοις (VII 98)· 'Ἄρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ'. ἦς δ ' ὁ μὲν αὐτῶν : ἦν δὲ τῶν ᾀδόντων ὁ μὲν ἄρτι τὸ γένειον χνοάζων, ὁ δὲ πληρώσας τὸ γένειον ταῖς θριξίν.

6 2/3d πυρρός : ὁ ἀρτίχνους. Εὐριπίδης (Phoen. 32)· 'πυρσαῖς γένυσιν ἐξανδρούμενοσ'. ὁ δ ' ἡμιγένειος : ὁ ἤδη· πωγωνίτης. Παρμένων· 'παῖδ' οὔτε γένυσιν πυρρὸν οὐθ' ὑπηνήτην'. θέρεος μέσῳ ἤματι : μεσούσης ἡμέρας ἢ ἐν μεσαιτάτῳ τοῦ θέρους.

6 4b θέρεος μέσῳ ἤματι : ἀντὶ τοῦ κατὰ τὸ μέσον τοῦ θέρους, ὅτε τὰ κυνοκαύματα. κατὰ τὸ μεσημβρινόν, ὃ τῆς ἡμέρας ὅλης καυματωδέστατόν ἐστιν.

6 5 πρῶτος δ ' ἤρξατο : οὕτω παρὰ τοῖς πολεμοῦσιν. Ὅμηρος (H 284)· ''Ιδαῖ', Ἕκτορι ταῦτα κέλευ'· Αἴαντα 〈γὰρ〉 προὐκαλέσατο 〈εἰσ〉 μάχην. βάλλει τοι : ὡς πρὸς παρόντα τὸν Κύκλωπα διαλέγεται.

6 6b ὁ ποιητὴς 〈ἐκ〉 προσώπου τοῦ Δάφνιδος. L g U g E g ἁ Γαλάτεια : 〈Γαλατείᾳ〉 ἱερὸν ὁ Κύκλωψ ἱδρύσατο ἐκ τοῦ ἔχειν αὐτὸν πολλὰ πρόβατα καὶ ἀπ' αὐτῶν κεκτῆσθαι τὸ γάλα πολύ.

6 6c GLUEA μάλοισι : μηλοβολεῖ εἰς ἔρωτα ἐπαγαγέσθαι βουλομένη.

6 7a δυσέρωτα δὲ εἶπε, παρόσον οὐκ ἐπέτυχεν αὐτῆς. τὸν αἰπόλον ἄνδρα καλοῖσα : τὸν ποιμένα.

6 7b ἀντὶ γὰρ τοῦ εἰπεῖν ποιμένα καταχρηστικῶς εἶπεν αἰπόλον, ἐπεὶ [καὶ] ὁ Κύκλωψ ποιμὴν ἦν, ἢ ἐπεὶ καὶ αἶγας ἔνεμεν ὁ Κύκλωψ. καὶ Ὅμηρος (ι 184)· 'μῆλ', ὄϊές τε καὶ αἶγεσ'. τέως GLUEAT γοῦν τὸ αἰπόλος ἀντὶ τοῦ ποιμένος εἴρηται. καὶ τύ νιν οὔπο θ ' ὁρῆσθα : καὶ σὺ αὐτὴν οὐ βλέπεις. [5]

6 8 ἢ ποθορῆσθα ἀντὶ τοῦ προσβλέπεις. PT ἅ δ ' ἴδε τὰν κύνα : τινὲς χωρὶς τοῦ δε , ἐκτείνουσι δὲ τὸ ι , ἵνα ἀντωνυμία τυγχάνῃ δεικτική.

6 9-12a τὸ ἑξῆς· τὰν κύνα βάλλει—εἰς ἅλα 〈δερκομένα 〉 , ὥστε τὰ λοιπὰ διὰ μέσου. τᾶν ὀΐων ἕπεται σκοπός : 〈.

6 9-12b ..〉 ἅ τοι τῶν ὀΐων : ἣ καὶ ἥτις.

6 9-12c τὸ δὲ σκοπὸς ἀντὶ τοῦ φυλάκισσα. PT ἔχουσι τὰς κύνας οἱ ποιμένες πρὸς ἀποτροπὴν τῶν λύκων.

6 9-12[d] L g βαΰσδει : ὑλακτεῖ.

6 9-12f τὰ δέ νιν καλὰ κύματα φαίνει : τὴν Γαλάτειαν. K ἐὰν δὲ ὡς ἔν τισι ῥαίνε ι , τὴν κύνα. 〈 φαίνει : 〉 γράφεται καὶ ῥαίνε ι , ἵνα νοῆται τὴν κύνα.

6 9-12h τὰ δέ νιν καλὰ κύματα : αὐτὴν τὴν Γαλάτειάν φησιν ἐπιτρέχουσαν ἡσύχως κινουμένου τοῦ αἰγιαλοῦ [εἰς] τὴν θάλασσαν ἐμφανίζειν. ἢ ὥσπερ ἐν κατόπτρῳ δεικνύει αὐτῆς τὴν μορφὴν ἡ θάλασσα. τὰ δέ νιν καλὰ κύματα : ἴσως ἡ σκιὰ αὐτῆς ἐπὶ τοῦ ὕδατος ἐτυποῦτο.

6 9-12i ἢ ἤχου τινὸς γινομένου ἐκ τοῦ δρόμου αὐτῆς εὐαίσθητος τῇ ἀκοῇ ἐγένετο τῶν κυμάτων ἡσυχαζόντων. ἐ π ’ αἰγιαλοῖο θέοισαν : μετωνυμικῶς ἀπὸ τῆς θαλάσσης γαλήνης πρὸς τὴν Γαλάτειαν τρέπεται, καὶ λέγει, ὅτι ἐπάνω καὶ αὐτὴ τῶν κυμάτων βαίνει.

6 9-12l τὸ δὲ καχλάζω ἐπὶ τοῦ ὕδατος, τὸ δὲ παφλάζω ἐπὶ τοῦ πυρός. καχλάζοντα : καχλάζειν κυρίως τὸ κῦμα λέγεται τὸ ἐπὶ τοὺς κάχληκας φερόμενον.

6 9-12m κάχληκες δέ εἰσιν αἱ χερμάδες λίθοι. ἅσυχα καχλάζοντα : διὰ τὴν τῆς θαλάσσης γαλήνην 〈ἡσύχωσ〉 ψοφοῦντα, ἠχοῦντα, ἐκ μεταφορᾶς τῶν καχλήκων.

6 9-12n κάχληκες δέ εἰσιν οἱ χερμάδες λίθοι, οἵτινες ὑπὸ παλιρροίας ἑλκόμενοι ἦχον ἀποτελοῦσιν, ὡς δοκεῖν καχλάζειν. ὁ τρόπος ὀνοματοποιΐα. καχλάζοντα : ἀντὶ τοῦ ἠχοῦντα. [5]

6 9-12o ὁ δὲ τρόπος ὀνοματοποιΐα. ἢ καχλάζειν τὸ ψοφεῖν τὸ κῦμα φερόμενον ἐπὶ τοὺς κάχληκας. φράζεο : ὅρα, μὴ προσαλλομένη τῇ Γαλατείᾳ ἡ κύων σπαράξῃ 〈τὸν καλὸν χρόα〉 .

6 13/14a KG φράζεο , μὴ τᾶς παιδός : φώνησόν σου τὴν κύνα, μή πως τὴν Γαλάτειαν καταδαίσηται.

6 13/14b τὸ δὲ ἐπὶ κνάμαισιν ὀρούσῃ ἀντὶ τοῦ κνήμαις ἐπιπηδήσῃ. PT 〈 φράζεο : 〉 ἢ βουλεύου περὶ τούτου ἢ ἐπίταττε τῇ κυνί.

6 13/14[c] L g U g E g ἁ δέ : ἰδού, ἔφη, καὶ αὐτὴ ἡ Γαλάτεια διαθρυπτομένη πάρεισιν ὡς ἀκανθίνη χαίτη, ἣν θέρος φρύγει.

6 15/16a χαίτη γὰρ τῆς ἀκάνθης ὁ πάππος. διαθρύπτεται : ἀντὶ τοῦ [εἰπεῖν ὡς]· οὕτως ἐστὶ τρυφερά, ὡς εἰπεῖν τινα ὅτι διαλύεται.

6 15/16c διαθρύπτεται, φησίν, 〈ὡσ〉 τὰ λευκὰ τῶν ἀκανθῶν τῷ θέρει ἤγουν τῇ μεσημβρίᾳ. οὕτως ἐστὶν ἁπαλή, ὡς εἰπεῖν τινα ὅτι διαλύεται. GU ὡς ἀ π ’ ἀκάνθας : λέγει [δὲ] τῆς κινάρας τὰ φύλλα, ἅ φασιν 〈.

6 15/16d .. ἢ〉 οἱ πάπποι τῆς κινάρας. K ἁ δὲ καὶ αὐτόθι τοι διαθρύπτεται : ἤγουν αὐτόθεν ἐστὶ τρυφερὰ φυσικῶς καὶ κόπτεται, ὥστε διαθρύπτονται αἱ σάρκες αὐτῆς.

6 15/16e GLUEAT ταὶ καπυραὶ χαῖται : αἱ κεκαυμέναι ὑπὸ τοῦ KGLUEAPT ἡλίου, διὰ τὴν λευκότητα.

6 15/16g 〈 χαῖται : 〉 τὰς 〈τῆσ〉 κινάρας φησίν· χαῖται γὰρ οἱ πάπποι τῆς κινάρας. θέλει οὖν εἰπεῖν, ὅτι ἐπικλᾶται καὶ διαθρύπτεται ὡς πάππος κινάρας.

6 15/16[i] λέγονται δέ, οἶμαι, χαῖται διὰ τὸ κόμαις ἐοικέναι. καὶ οὐ φιλέοντα : ἐνταῦθα τὸ ἐρεθιστικὸν καὶ πανοῦργον αὐτῆς σημαίνει· τὸ γὰρ φιλοῦντα φεύγειν, οὐ φιλοῦντα δὲ διώκειν κακοήθους.

6 17a ὁ νοῦς· καὶ ἐπειδὰν αἴσθηταί 〈σε〉 , ὦ Πολύφημε, φιλοῦντα, φεύγει καὶ οὐ προσδέχεται, μισοῦντα δὲ διώκει καὶ εἰς πόθον ἄγειν πειρᾶται. φιλέοντα : εἰ μὲν πρὸς τὴν Γαλάτειαν ἀποτείνεις τὸν λόγον, ὀφείλεις νοεῖν, ὅτι τοῦ ἐρωμένου οὐκ ἐρᾷ, τοῦ δὲ μὴ ἐρωμένου ἐρᾷ· εἰ δὲ πρὸς τὴν κύνα, τὸν φιλοῦντα φεύγει καὶ τὸν μὴ φιλοῦντα διώκει. [5]

6 18/19a κινεῖ λίθον : καὶ λίθινον, φησίν, ἄγαλμα δύναται εἰς ἔρωτα αὐτῆς ἐπισπάσασθαι· τὴν δὲ τοῦ κάλλους ὑπερβολὴν θαυμάζει. ἦ γὰρ ἔρωτι : ὦ Πολύφημε, φησὶν εἰρωνευόμενος, ἐρᾷ σου ἡ Γαλάτεια, καὶ πάντως εἰς τὸ συμπεῖσαί σε μονονουχὶ τὸν ἀπὸ γραμμῆς λίθον κινεῖ, ὡς ἡ παροιμία φησί.

6 18/19b

καὶ μὴ θαυμάσῃς, εἰ οὕτως ἀμόρφου ὄντος ἐρᾷ σου· ἐν γὰρ τῷ ἔρωτι καὶ 〈 τὰ μὴ καλὰ καλὰ πέφανται 〉 . τὸν ἀπὸ γραμμῆς ἐπὶ τὸν αὐτῆς ἔρωτα μεταφέρεσθαι ποιεῖ. καί σε ὥσπερ λίθον ὄντα τὴν ψυχὴν ὡς ἀπὸ γραμμῆς κινεῖ καὶ ἕλκει πρὸς ἑαυτήν.

6 18/19c μεταφορικῶς δέ ἐστιν ἡ γραμμή· κυρίως γάρ ἐστι γραμμὴ ἡ τῶν δρομέων σπάρτη. λίθον : τὸν ὥσπερ λίθον στερεὸν ὄντα τὴν ψυχὴν ὡς ἀπὸ γραμμῆς καὶ τέχνης τινὸς κινεῖ ἐπὶ τὸν ἑαυτῆς ἔρωτα.

6 18/19d GUEAT τὸν ἀπὸ σφενδόνης λίθον κινεῖ θέλουσα ποιῆσαί σε ἐρᾶν αὐτῆς.

6 18/19e UEAT γραμμὴν τὴν τοῦ δακτυλίου περιφέρειαν λέγει.

6 18/19f L g U g E g μήποτε δὲ ἀπὸ τῶν πεσσῶν ἡ μεταφορά.

6 18/19g μέσην γὰρ τιθέασιν οἱ παίζοντες ψῆφον, ἧς οὐχ ἅπτονται, εἰ μὴ τέλεον ἡττώμενοι αὐτῆς ἅψαιντο· λίθον οὖν τὴν ψῆφον. οἷον· τὸν ἔρωτα εἰς ἔσχατον παριστᾷ κίνδυνον. GUEAT καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον : ἤγουν καὶ τὰς ἀψύχους στήλας κινεῖ πρὸς τὸν αὐτῆς ἔρωτα.

6 18/19h LUEAT καὶ ὅταν προσποιῇ σὺ μὴ φιλεῖν αὐτήν, πάντα κάλων κινεῖ καθελκύσαι 〈σε〉 πρὸς ἔρωτα.

6 18/19i ἡ δὲ λέξις μεταφορικῶς ἀπὸ τῶν παιζόντων τὸ κοινολέκτως λεγόμενον ζατρίκιον. ἐκεῖνοι γὰρ ὅταν πολλὰ ποιήσαντες οὐ δύναται ὁ ἕτερος νικῆσαι τὸν ὁμοπαίκτορα, κινεῖ καὶ τὸν ἀπὸ γραμμῆς λίθον, ἤγουν τὸν οὕτω βασιλέα καλούμενον. καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον : γράψαι τὸ ξέσαι οἱ παλαιοὶ ἔλεγον.

6 18/19k ἀπὸ γοῦν τοῦ γράφειν τοῦ δηλοῦνPT τος τὸ ξέειν γίνεται γραμμὴ ἡ λάξευσις. λίθον οὖν ἀπὸ γραμμῆς ἐνταῦθα λέγει τὸ λίθινον ἄγαλμα. ὁ δὲ νοῦς· δύναται ἡ Γαλάτεια καὶ τὸ λίθινον ἄγαλμα εἰς τὸν ἑαυτῆς ἔρωτα ἐπισπάσασθαι δι᾽ ὑπερβολὴν τοῦ κάλλους. ὦ Πολύφαμε : καὶ σύ, ὦ Πολύφημε, δύσμορφος ὢν εὔμορφος εἶναι νομίζῃ ἐρώσῃ τῇ Γαλατείᾳ.

6 18/19l τοιοῦτος γὰρ ὁ ἔρως· ἀποβιάζει τὴν διάνοιαν τῶν ἐρώντων. ἦ γὰρ ἔρωτι πολλάκις , ὦ Πολύφαμε , τὰ μὴ καλὰ καλὰ πέφανται : μὴ θαύμαζε, φησίν, ὦ Πολύφημε, εἰ ἐρᾷ σου ἡ Γαλάτεια ἀμόρφου ὄντος.

6 18/19n μὴ καλὰ καλά : ἤγουν σὺ 〈μὴ〉 καλὸς ὢν καλὸς φαίνῃ. ἀμόρφου σου ὄντος ἐρᾷ ἡ Γαλάτεια.

6 20-24a τῷ δ ᾽ ἔπι Δαμοίτας : ὁ Δαμοίτας ᾄδει ὡς ἐκ προσώπου τοῦ Πολυφήμου τὴν ἀπόκρισιν τοῦ λόγου ποιούμενος καί φησιν· εἶδον, ὡς λέγεις, τὴν Γαλάτειαν, καὶ οὐκ ἔλαθέ μου τὸν ἕνα ὀφθαλμὸν καὶ γλυκύν, ἐν ᾧπερ νῦν ὁρῶ καὶ εἴη μοι μέχρι τέλους ὁρᾶν τῷ δ ᾽ ἔπι Δαμοίτας : ἐπὶ τῷ Δάφνιδι δέ, ἤγουν μετὰ τὸν Δάφνιν.

6 20-24b τὸ δὲ ἀνεβάλλετο ἀντὶ τοῦ ἐπροοιμιάζετο. ἀναβάλλω γʹ σημαίνει· ἀναβάλλω τὸ ἐνδύομαι, ἀναβάλλω τὸ ῥᾳθυμῶ καὶ ἀποστρέφομαι, καὶ τὸ ἀνακρούω ὡς ἐνταῦθα.

6 20-24[d] ἀναβάλλω σημαίνει δʹ· τὸ ἐνδύομαι ὡς τὸ ‘ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον‘ (Psalm. 103, 2)· τὸ προοιμιάζομαι ὡς τὸ ‘ἀνεβάλλετο καλὸν ἀείδειν‘ (α 155)· τὸ ἀνακρούω ὡς τὸ ‘καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον‘ (Aphthon. Progymn. 1, Rhet. gr. II 21, 15 Spengel)· καὶ τὸ ἀπαρνοῦμαι ὡς τὸ ‘ἀναβολὴν ποιοῦμαι τοῦδε τοῦ πράγματος.‘ γράφεται καλὸν ἀείδει ν .

6 20-24[e] K εἶδον ναὶ τὸν Πᾶνα : ἀντὶ τοῦ μὰ τὸν Πᾶνα.

6 20-24f P κοὔ μ ᾽ ἔλα θ ᾽ οὐ τὸν ἐμὸν 〈τὸν〉 ἕνα : λείπει τὸ ὀφθαλμόν, ἀντὶ 〈τοῦ〉 μὰ τὸν ἐμὸν τὸν ἕνα ὀφθαλμόν.

6 20-24h ὁ μάντις ὁ Τήλεμος : οὗτός ἐστιν ὁ Τήλεμος ὁ παρ᾽ Ὁμήρῳ (ι 509) ‘Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο‘, ὃς ἐμαντεύσατο αὐτῷ, ὅτι ὑπὸ τῶν χειρῶν Ὀδυσσέως τυφλωθήσεται. KGL g U r PT ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νοῦς· ὁ δὲ μάντις ὁ Τήλεμος ὁ τὰ ἀπευκτά μοι μαντευσάμενος ἀπευκταίαν συμφορὰν ἀντ' ἄλλου κλήρου τοῖς ἑαυτοῦ παισὶ καταλίποι.

6 20-24i ἦν δὲ Κύπριος ὁ Τήλεμος. KG αὐτὰρ ὁ μάντις ὁ Τήλεμος : ὁ μάντις, ὅς μοι εἴρηκε τυφλωθῆναι, αὐτὸς τυφλωθείη παρὰ τῶν παίδων αὐτοῦ.

6 20-24k τοῦτο δὲ εἴρηκεν, ἐπειδὴ ὁ τοιοῦτος μάντις εἰρήκει αὐτῷ τυφλωθήσεσθαι ὑπὸ Ὀδυσσέως. GLUEAT ὁ παρ' Ὁμήρῳ Τήλεμος Εὐρύμου ἐμαντεύσατο Πολυφήμῳ τῷ Κύκλωπι ἐκ χειρῶν Ὀδυσσέως ἁμαρτήσεσθαι ὀπωπῆς (ι 512).

6 20-24m ἐχθρὰ φέρει ποτὶ οἶκον : ἐχθρὰ φυλάξει τοῖς τέκνοις αὐτοῦ. ἐμαντεύσατο γὰρ τῷ Πολυφήμῳ (ι 512)· 'χειρῶν ἐξ Ὀδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς.' GL 1.2 UEAT ἐχθρὰ φέρει ποτὶ οἶκον : τοῦτό ἐστιν ὅπερ λέγει, ὅτι τὰ ῥηθέντα μοι παρὰ τοῦ μαντέως κακὰ ἀντιστραφῶσιν LUEAT αὐτῷ καὶ τοῖς τέκνοις αὐτοῦ.

6 25a κνίζων : καὶ ἐγὼ αὐτὸς κνίζω αὐτὴν οὐδόλως προσβλέπων καὶ ἀντιλυπῶ· λείπει δὲ τὸ αὐτήν. ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζω : κνίζω αὐτὸς αὐτήν.

6 25b οὔπο θ ' ὁρῆμαι : οὐδόλως προσβλέπω αὐτὴν ἀνακοπὴν ποιούμενος λυπῶν. ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων : ἀντὶ τοῦ λυπῶν.

6 25c τὸ δὲ οὔπο θ ' ὁρῆμαι ἀντὶ τοῦ μὴ βλέπειν προσποιοῦμαι. γυναῖ κ ' ἔχεν : ἀλλ' ἐγὼ ἑτέραν ἔχω· ἡ δὲ ζηλοτυπεῖ με καὶ διαρρεῖται.

6 26/27a τὸ δὲ ὦ Παιάν διὰ μέσου. ἀλ λ ' ἄλλαν τινά : ἀλλὰ λέγω· ἄλλην τινὰ γυναῖκα ἔχω, διὰ τοῦτο οὐκ ἐπιστρέφομαι αὐτῆς.

6 26/27c ζηλοῖ μ' , ὦ Παιάν : ἀντὶ τοῦ ζηλοτυπεῖ με. οἰστρεῖ : τὸν οἶστρον τοῦ μύωπος Σώστρατος (cf.

6 28a Fgm. hist. gr. IV 505 b ; Wellmann Herm. 24, 1889, 565) διαστέλλει. οἶστροι δέ εἰσι πολέμιοι τοῖς βουσίν· ὅταν γὰρ δάκνωσιν αὐτούς, οἰστρᾶν ποιοῦσι καὶ τρέχειν πολλὴν ὁδὸν ἐν τοῖς πεδίοις καταλιπόντας τὸν νομόν. μεταφορικῶς οὖν φησι καὶ τὴν Γαλάτειαν οἰστρᾶν καὶ δρομαίαν ἔρχεσθαι πρὸς τὰ ἄντρα καὶ τὰς ποίμνας τοῦ Κύκλωπος. οἰστρεῖ παπταίνοισα : ἤγουν 〈ἐρωτιᾷ ὡσ〉 ὑπὸ οἴστρου πεπληγμένη. [5]

6 28c οἰστρῇ παπταίνουσα : ἤγουν ἀκολασταίνει. τὸ δὲ παπταίνουσα ἀντὶ τοῦ περιβλέπουσα. P σῖγα δ ' ὑλακτεῖ νιν : ἀντὶ τοῦ· σιγῇ καὶ ἠρέμα ὑποψιθυρίζει καὶ αὐτῇ τῇ κυνὶ περὶ ἐμοῦ τινα, ἐπεὶ κἀγὼ ἡνίκα ἤρων αὐτῆς, ἔσαινεν ἡ κύων καὶ κατεθώπευε προσέχουσα τὸ ῥύγχος τοῖς ἰσχίοις αὐτῆς.

6 29/30a τὸ δὲ ὑλακτεῖν οὐ κυKGU ρίως, ἀλλὰ καταχρηστικῶς· ἴδιον γὰρ κυνῶν. τινὲς δὲ ὑλακτεῖν γράφουσιν, ἵν' ἐλλιπὲς ᾖ τὸ ἐπέτρεψεν. οἱ δὲ προστακτικὸν ὑλάκτε ι , ἵν' ᾖ· καὶ τῇ κυνὶ εἶπεν· ὑλάκτει. σῖγα δ ' ὑλακτεῖν νιν : λείπει τὸ ἐπέταξα, 〈ἵν'〉 ᾖ· ἐπέταξα καὶ τῇ κυνὶ σιγᾶν καὶ μὴ ὑλακτεῖν. [5]

6 29/30b KGUPT γράφεται σιγᾷ δ ' ἅ τε κύων νιν ὑλακτε ῖ , ἥσυχα δηλονότι.

6 29/30c K ὅταν μὲν ὡς ἐπίρρημα κέηται, ὀφείλομεν 〈προ〉 περισπώμενον ποιεῖν· ὅταν δὲ προστακτικῶς ἐκδιδῶται, ὡς μακρῶν οὐσῶν καὶ τῶν δύο συλλαβῶν παροξυτόνως.

6 29/30e ἐκνυζεῖτο : κνυζηθμὸς λέγεται ἡ τῶν κυνῶν ἄσημος ὑλακή. φησὶν οὖν, ὅτι παραγενομένην ἔσαινε τὴν KGL m U r U m EAPT Γαλάτειαν. ἐκνυζεῖτο : ἐκαναχίζετο ἡ κύων.

6 29/30g πο τ ' ἰσχία : πρὸς τὰ ἰσχία αὐτῆς ἐφήλλετο. πο τ ' ἰσχία : τὸ στόμα ἀναμέσον τῶν ἰσχίων ἔχουσα· οὕτω γὰρ κοιμῶνται οἱ κύνες.

6 29/30i ἰσχίον ἐστὶ τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη παρὰ τὸ κοῖλον εἶναι. κοτύλαι δὲ λέγονται αἱ ἐν τοῖς ἰσχίοις κοιλότητες, εἰς ἃς αἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται. ἰσχία λέγεται τὰ ὑπὸ τὴν ὀσφὺν ἐξ ἑκατέρων τῶν μηρῶν ὀστᾶ, ἐν οἷς ἔγκειται τὸ ἱερὸν ὀστοῦν.

6 29/30k ἔχουσι δὲ τὰ τοιαῦτα ὀστᾶ τὰ λεγόμενα ἰσχία κοιλότητάς τινας, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται. αἱ δὲ κοιλότητες αὗται καὶ γλουτὰ λέγονται καὶ κοτύλαι παρὰ τὴν κοιλότητα. τὸ δὲ ῥύγχος καταχρηστικῶς ἐπὶ τοῦ κυνὸς νυνὶ λέγεται· κυρίως δὲ ἐπὶ τῶν ὀρνέων. ῥύγχος τὸ καλούμενον ῥάμφος, ἡ ῥὶς τῶν ὀρνέων. [5]

6 29/30m ποτὶ ῥύγχος ἔχοισα : ῥύγχος κυρίως ἐπὶ τῶν ὀρνέων, νῦν δὲ καταχρηστικῶς ἐπὶ τῶν κυνῶν λέλεκται. LEAT λέγεται δὲ νῦν ῥύγχος τὸ ἄκρον τῆς ῥινὸς τοῦ κυνός.

6 29/30o ῥύγχος τῶν ἰχθύων καὶ τῶν χοίρων, ῥάμφος τῶν ὀρνέων. 〈 ἄγγελον : 〉 τὸν ἀπαγγελοῦντά μοι περισσόν τι παρὰ αὐτῆς.

6 32b κλᾳξῶ : κλείσω. αὐτά μοι στορέσειν : ἢ διακονήσειν ἐμοί· ἢ ἀντὶ τοῦ γνησία μοι γυνὴ εἶναι.

6 33 KLEAPT οὐ δ ’ εἶδος : εὔμορφον ἑαυτὸν ποιεῖ ἐπαινῶν τὸ εἶδος αὐτοῦ.

6 34 K ἦ γὰρ πρᾶν : καὶ γὰρ πρώην κατωπτρισάμην ἐν τῇ θαλάσσῃ.

6 35 KL g U g E g κώρα : κόρη, ὁ ὀφθαλμός.

6 36-38a K ὡς πα ρ ’ ἐμίν : τοῦτό φησι, παρόσον οἱ κατὰ φύσιν μονόφθαλμοι τοῖς οὐ μονοφθάλμοις ἄμορφοι δοκοῦσιν εἶναι καὶ οὐχ ὁμοίως κρίνουσιν ἑκάτεροι τοὺς ἀνομοίους τῇ φύσει.

6 36-38b KGLEAPT τῶν δὲ ὀδόντων τὴν φαιδρότητα λευκοτέραν τῆς Παρίας λίθου ἀπέφηνεν ἡ θάλασσα.

6 36-38d γράφεται δὲ καὶ τοῖς δέ τ ’ ὀδοῦσ ι , δοτικὴ ἀντὶ γενικῆς, ὡς τὸ (Γ 16) ‘Τρωσὶ μὲν προμάχιζεν‘ ἀντὶ τοῦ τῶν Τρώων. Δωρικὸν τὸ ἔθος. KGU τῶν δέ τ ’ ὀδόντων : τῶν ὀδόντων ἡ λευκότης λευκοτέρα ἐδείκνυτο Παρίας λίθου.

6 36-38e Παρία γάρ ἐστι λίθος λευκή. Παρίας : εἶδος λίθου.

6 39a ἔπτυσα κόλπον : τὸ νεμεσητὸν ἐκτρεπόμεναι ποιοῦσι τοῦτο, καὶ μάλιστα αἱ γυναῖκες. Καλλίμαχος (fgm. 235 Schneider, II 477)· ‘δαίμων, τῇ κόλποισιν ἐπιπτύουσι γυναῖκεσ‘. τρὶς ἐς τὸν ἐμὸν ἔπτυσα κόλπον.

6 39b ποιοῦσι γὰρ τοῦτο PT μάλιστα αἱ γυναῖκες. ἁ γραία με : Εὐρυτιώνην τὴν 〈Τι〉 μάνδρου θυγατέρα καὶ Κοτυτὼ ἐτίμησαν οἱ Ἡρακλεῖδαι διὰ τὸ συναγωνίζεσθαι εἰς τὴν τῆς Πελοποννήσου κάθοδον, ὡς οἱ περὶ Ἱππόστρατον (fgm.

6 40a 2 Mueller Fgm. hist. gr. IV 432) ἀποφαίνουσιν. ἁ γραία με Κοτυταρίς : ἀπὸ τῆς παρὰ Δωριεῦσι τιμωμένης Κοτυτοῦς ὠνόμασται Κοτυταρίς. [5]

6 40b ἦσαν δὲ Τιμάνδρου θυγατέρες Κοτυτὼ καὶ Εὐρυτιώνη, ἃς ἐτίμησαν Ἡρακλεῖδαι διὰ τὸ συναγωνίσασθαι αὐτοῖς κατὰ τὴν εἰς Πελοπόννησον ἄφιξιν. Κοτυταρὶς παρὰ τὸ Κοτυτώ, ἣν τιμῶσι Κορίνθιοι. [5]

6 40c τάχα δὲ παρὰ τὸν κότον πεποίηται· δύσκολοι γὰρ οἱ γέροντες καὶ πικροί. Ἀριστοφάνης (Equ. 42)· ‘Δῆμος πυκνίτης, δύσκολον γερόντιον‘. ἔστι Κοτυτὼ Δωρικὴ θεός, παρ’ ἣν ὠνόμασται καὶ αὕτη.

6 40e ἡ δὲ Κοτυταρὶς ὠνόμασται ἀπὸ τοῦ κότου· ἕτοιμοι γὰρ εἰς κότον οἱ γέροντες. ταῦτα γὰρ ἁ γραία με Κοτυτταρίς : ὄνομα κύριον.

6 40f [ἢ] παρὰ τὸν κότον ἴσως πεποίηται· καὶ γὰρ οἱ γέροντες ὀξύθυμοί εἰσιν. πα ρ ’ Ἱπποκίωνι : Ἱπποκίων ὄνομα κύριον ἢ ὄνομα τόπου.

6 46a νίκη μὲν οὐ δ ’ ἄλλος : ἀντὶ τοῦ· οὐδέτερος ἐνίκησεν. προδέδεικται δέ, ὅτι καί φησι (VII 36 cum sch. b)· ‘τάχ’ ὤτερος ἄλλον ὀνάσει‘. ἀνήσσατοι : ἀντὶ τοῦ ἀήττητοι ἐφαμίλλου γενομένης τῆς μάχης, ἀνίκητοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

6 46b K νίκη μὰν οὐ δ ' ἄλλος : ἀντὶ τοῦ· οὐ γὰρ πρός τινος ἡττήθησαν.

6 46c ἀνήσσατοι δὲ ἀντὶ τοῦ ἀήττητοι, ἀνίκητοι· τουτέστιν οὐδεὶς αὐτοὺς ἐνίκησεν. GLEAT 〈 ἀνάσσατοι : 〉 ἤγουν ἰσοπαλεῖς ἢ ἀνίκητοι.

6 46d E g Βουκολιασταί.

8 t 〈β′〉 Τὰ μὲν πράγματα ἐπὶ Σικελίας, ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου.

8 arg a εἰσὶ δ’ ἐρίζοντες ἀλλήλοις Δάφνις βουκόλος καὶ Μενάλκας ποιμὴν εἰληφότες κριτὴν αἰπόλον· ἔπαθλα δὲ τεθείκασι τὰς σύριγγας. KUEAGPT τὰ πράγματα ἐν Σικελίᾳ, ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου.

8 arg b Μενάλκας καὶ Δάφνις εἰς ἔριν βουκολικῶν ᾀσμάτων καταστάντες εἵλοντο κριτήν τινα, οὗ τὸ ὄνομα σεσιώπηται, ἔπαθλα δ’ ἐτίθεσαν τὰς ἰδίας σύριγγας. προσέτι δὲ 〈τὸν〉 KUEAT κριτὴν ὁ Δάφνις εὖ μάλα ᾄσας προσηγάγετο μαθητεῦσαι ἑαυτῷ. Σωσίθεος (Nauck Trag. gr. fgm. 2 821) δὲ Δάφνιν 〈...〉 γενόμενον, ὑφ’ οὗ νικηθῆναι Μενάλκαν ᾄδοντα Πανὸς κρίναντος, γαμηθῆναι δὲ αὐτῷ καὶ Νύμφην Θάλειαν. Ἀλέξανδρος δέ φησιν ὁ Αἰτωλὸς (fgm. 5 Meineke Anal. Alex. 250) ὑπὸ Δάφνιδος μαθεῖν Μαρσύαν τὴν αὐλητικήν. ἔνηβοι μὲν οἱ πεντεδεκαετεῖς καὶ πορρωτέρω· ἄνηβοι δὲ οἱ κατωτέρω [δωδεκαετεῖς].

8 6a ἐπίουρε βοῶν : ἀντὶ τοῦ ὦ φύλαξ τῶν μυκωμένων βοῶν. μυκητᾶν ἐπίουρε βοῶν : ἐπίσκοπε, φύλαξ.

8 6b ὡς καὶ Ὅμηρος (ν 405) ‘ὅς τ’ οἴων ἐπίουροσ‘ καὶ (N 450) ‘ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον‘. γίνεται δὲ ἡ λέξις ἀπὸ τοῦ ὠρῶ τὸ φυλάσσω. μυκητᾶν ἐπίουρε βοῶν : ἀντὶ τοῦ μυκητῶν βοῶν ἤτοι μυκητικῶν.

8 6d λῇς μοι ἀεῖσαι : θέλεις συγκριθῆναί μοι ταῖς ᾠδαῖς; ἀξιωματικὸς ὁ λόγος.

8 7b ὅσον θέλω : ἐφ’ ὅσον ἂν θέλω. συριγκτά : μεγαλόφωνε, μεγάλα συρίζειν δυνάμενε.

8 10a οὔποτε νικασεῖς : οὔποτέ με νικήσεις, οὐδ’ εἰ διαρραγείης ᾄδων, παρὰ τὸ ἐν τῇ συνηθείᾳ. ἤ· οὐδὲ ἐὰν ἀποθάνῃς ἢ [ἐὰν] ἀπάγξῃ. 〈 οὐ δ ' εἴ τι πάθοις : 〉 τὸ λεγόμενον 〈ἐν〉 τῇ συνηθείᾳ· οὐδ’ ἐὰν σχισθῇς, οὐδ’ εἰ διαρραγείης ᾄδων.

8 10c οὐ δ ' εἴ 〈τι〉 πάθοις τύ γ ' ἀείδων : οὐδὲ ἐὰν πάθῃς 〈τι〉 ἀείδων. τοῦτο ἡμεῖς φαμεν· οὐδ’ εἰ διαρραγείης ἀείδων. E g GP χρήσδεις δ ' ὦν : ἀντὶ τοῦ· βούλει ἔργοις μαθεῖν, ὅτι σου κάλλιον ᾄδω; K ἄρκιος εἴη : τίς ἆθλος ἡμῖν ἀρκέσει, καὶ τίνα καταθήσομεν [ἡμῖν] ἀντὶ τῆς νίκης; 〈 ἄρκιος : 〉 ἀξιόχρεως.

8 14a ἰσομάτορα : ἶσον τῇ μητρί, τουτέστι μέγαν. KL g E g GP ἰσομήτορα : ἰσόγαιον.

8 14b K μᾶ λ ' ἀριθμεῦντι : ἀριθμοῦσιν ὁ πατήρ μου καὶ ἡ μήτηρ μου.

8 15/16 G ἐννεάφωνον : ἐννέα φθόγγους ἔχουσαν ἢ τὴν ἐξ ἐννέα καλάμων συγκειμένην.

8 18a K 〈 ἐννεάφωνον : 〉 τὴν ἀπὸ ἐννέα καλάμων συγκειμένην ἢ ταῖς ἐννέα φωναῖς ἁρμόζουσαν· ἐννέα γὰρ πᾶσαι αἱ φωναί.

8 18b L g U g E g P ἶσον κάτω : ἢ ἰσόχειλον ἢ τετράγωνον.

8 19a K 〈 ἶσον κάτω , ἶσον ἄνωθεν : 〉 ἰσόμηκες ἔχουσαν τὸ κάτω καὶ τὸ ἐπάνω.

8 19b E g λευκὸν κηρὸν ἔχουσαν ἶσον κάτω ἶσον ἄνωθεν : τουτέστιν ἶσον κηρόν.

8 19c τετράγωνον οὖσαν δηλοῖ τὴν σύριγγα. K εἰ γὰρ τοσοῦτον εἶχε κηρὸν 〈κάτω〉 ὅσον ἄνωθεν, δηλονότι τὸ σχῆμα τετράγωνον ἦν. προτίθησι 〈δὲ〉 τὴν τετράγωνον ὡς τιμιωτέραν τῆς τριγώνου· ἡ γὰρ τρίγωνος ἐξ ἀνίσων καλάμων, ἐπὶ μέντοι τῆς τετραγώνου δεῖ θαυμάζειν ἴσων ὄντων πανταχόθεν καλάμων. συνέπαξα : συνέπηξα, συνήρμοσα.

8 26a

τῆνόν πως : ἀντὶ τοῦ· ἄγε δή πως ἐκεῖνον ἐφ’ ἡμᾶς καλέσωμεν. τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον : λείπει τὸ σκόπει, ἵν’ ᾖ· σκόπει ἐὰν καλέσωμέν πως, ἤγουν τινὶ τρόπῳ, τὸν αἰπόλον ἐκεῖνον.

8 26c ἐλλειπτικῶς· τῆνόν πως ἐνταῦθα τὸν αἰπόλο ν , νοητέον ἔξωθεν κράξωμεν. ἣν καὶ ἰδοὺ Ἀττικῶς, ὡς καλέσωμεν.

8 26e 〈 ἣν καλέσωμες : 〉 ἐθελήσομεν καλέσαι κρίνειν. κύων ὁ φάλαρος : φάλιος, λευκός.

8 27a καὶ Ὅμηρος (Ν 799) τὰ κύματα [φαληριόωντα] λέγει τὰ λευκαινόμενα ‘κυρτὰ φαληριόωντα‘. [τὸ] φαλιὸν δὲ καὶ βαλιὸν λέγουσι καὶ τὸν ἐν τῷ μετώπῳ λευκόν 〈τι〉 ἔχοντα ὁμοίως. 〈 φάλαρος : φάλιος,〉 λευκός· ἐξ οὗ καὶ φαλακρὸς ὁ ἔχων φάλιον κάρα.

8 27b L g 〈 φάλαρος : 〉 γράφεται φίλαρνο ς .

8 27[c] K ἰυγκτά : κράκτα· τοῦτο γὰρ δηλοῖ τὸ ἰύζειν.

8 30a Καλλίμαχος (fgm. 512 Schneider, II 663)· ‘ἰύζων δ’ ἀν’ ὄροσ‘. ἰυγκτὰ δὲ ὡς τὸ ‘νεφεληγερέτα Ζεύσ‘. ἰυκτάς : 〈λιγύφθογγος:〉 ἰύζειν γὰρ τὸ λιγυφωνεῖν, κυρίως δὲ ἐπὶ γυναικῶν.

8 30b Δωρικὴ δέ ἐστιν ἡ κλίσις. U r E m AT ἰυκτάς : παρὰ τὸ ἰύζω ἰύξω ἰυκτάς, ἤγουν συρικτής· ἔστι δὲ Δωρικὴ ἡ κλίσις.

8 30c GPT ἄγκεα : ὡς πρὸς ἔμψυχον ὁ λόγος· ποιητικὸν δέ ἐστι τὸ ἔθος.

8 33a ἄγκη δὲ τὰ τῶν ὀρῶν κοιλώματα. οἱ δὲ τὰ μετέωρα διὰ τὸ ἄνω κεῖσθαι· καὶ Ὅμηρος· ‘καὶ ἄγκη ποιήεντα‘. K ἄγκεα καὶ ποταμοί : γλυκύτης τὸ σχῆμα, ὅτε τοῖς ἀψύχοις ὡς ἐμψύχοις προσδιαλέγονται.

8 33b ἄγκη δὲ τὰ κοῖλα τῶν ὀρῶν. UEAT ἄγκεα καὶ ποταμοί : πρὸς τὰ ἄγκη καὶ τοὺς ποταμοὺς λέγει ὡς πρὸς σωματοειδεῖς θεούς, ὅπως τὰ θρέμματα αὐτοῦ μείνωσιν ὅλα.

8 33c ἄγκη δὲ τὰ κοῖλα τῶν ὀρῶν. ἄγκεα ἀπὸ τοῦ ἄγω τὸ κλῶ, τὰ συγκεκλασμένα οἷον.

8 33[d] T θεῖον γένος : ἢ ὅτι Τηθύος εἰσὶ καὶ Ὠκεανοῦ, ὃς ‘γένεσις πάντεσσι τέτυκται‘ (Ξ 246), ἢ ὅτι ἀεικίνητοι τυγχάνουσι, παρὰ τὸ θέω θεῖον.

8 33e K θεῖον δὲ γένος τὸ τῶν ποταμῶν λέγει, καθὸ ἐκ UEAGPT 1.

8 33f 2 Τηθύος καὶ Ὠκεανοῦ ἢ ἐκ Διός, ὡς Ὅμηρος. τὸ δὲ μέτρον ἐλεγεῖον καὶ ἡρωϊκόν.

8 35 ἐκ ψυχᾶς : ἢ ᾖσε μέλος ἐκ ψυχῆς ἢ βόσκοιτ’ ἐκ ψυχῆς, ἤγουν ζέοντι πόθῳ καὶ μετὰ ἐπιμελείας καὶ μὴ ἀνειμένως. μηδὲν ἔλασσον ἔχοι : καὶ αὐτοῦ τὰ πρόβατα μηδὲν ἔλασσον τῶν ἐμῶν τρέφοιντο.

8 37/38a αἴπερ ὅμοιον : εἴπερ ὁμοίως ἀείδει ταῖς ἀηδόσιν ὁ Δάφνις, ἀντὶ τοῦ· εἴπερ ἀληθῶς οὕτως ᾄδει ὥσπερ 〈αἱ〉 ἀηδόνες. ταῖσιν ἀηδονίσιν : ἔοικεν οὕτως ἀκριβῶς ᾄδειν ὥσπερ αἱ ἀηδόνες.

8 41-44a πάντα ἔαρ : ὅπου, φησίν, ἡ ἐρωμένη αὐτοῦ περιπατεῖ, ἐκεῖ πάντα ἔαρ καὶ πάντα νομαί εἰσι καὶ τὰ θρέμματα ἐκτρέφεται· ὅταν δὲ ἀπέλθῃ, ξηραίνεται καὶ ὁ ποιμὴν καὶ αἱ βοτάναι. ἢ 〈παντᾷ 〉 ἀντὶ τοῦ πάντη καὶ πανταχοῦ.

8 41-44c τὸ δὲ πάντῃ Δωρικῶς παντᾷ περισπωμένως. τὸ δὲ οὔθατα πηδῶσι ν , ὅτι πληροῖ διὰ τῶν θηλῶν τὸ γάλα.

8 41-44e τρέφεται : ἢ τὰς ἀμνάδας καὶ τοὺς ἀμνοὺς ὑπὸ τῶν οὐθάτων τρέφεσθαι 〈λέγει〉 · ἢ τὰ νέα ἤγουν μικρὰ τῶν ποιμνίων τρέφονται καὶ αὔξονται· ἢ τὰ ἀρτίφυτα τῶν βοτανῶν αὔξονται. 〈 ἀφέρπῃ : 〉 ἐκεῖθεν πόρρω γενήσεται.

8 45-48 ἔν θ ’ ὄϊς : ὁ Δάφνις λέγει ἀντιπαραβάλλων ἐπὶ τῆς αὐτῆς ἐννοίας, ὅτι ὅπου ἂν ὁ ἐρώμενός μου βαίνῃ Μίλων, πάντα αὔξει, καὶ σμήνη καὶ δένδρα καὶ θρέμματα· ὅταν δὲ χωρισθῇ, καὶ ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βουκόλος ξηρὸς γίγνεται καὶ αἱ βόες. ὦ τράγε τᾶν λευκᾶν ἄνερ αἰγῶν : καταχρηστικῶς ἄνδρα τῶν αἰγῶν τὸν τράγον φησίν.

8 49b ὦ βάθος ὕλης : ἀντὶ τοῦ ὑψηλόν. Ὅμηρος (Β 147): ‘ὡς δ’ ὅτε κινήσει Ζέφυρος βαθὺ λήιον ἐλθών‘. K ἴ θ ’ ὦ κόλε καὶ λέγε : πρὸς τὸν τράγον φησίν· ὦ κολοβέ, ἐν ἐκείνῳ τῷ τόπῳ ἐστὶν ὁ Μίλων.

8 51/52a ἄπελθε οὖν καὶ λέγε αὐτῷ, ὅτι καὶ Πρωτεὺς θεὸς ὢν φώκας ἔνεμε καὶ μετὰ δυσόδμων ζῴων ἀνεστρέφετο. καὶ σὺ οὖν μὴ ὑπερηφάνει διὰ τὴν τῶν τράγων ὀσμὴν ἐλθεῖν πρός με. ἐν τήνῳ γὰρ τῆνος : ἐν ἐκείνῳ τῷ τόπῳ 〈.

8 51/52b ..〉 ἀπελθὼν 〈...〉 πρὸς τὸν τράγον [τὸν βουκόλον] ὁ λόγος. ὦ κόλε : ἀντὶ τοῦ ὦ κολοβέ· λέγεται γὰρ κόλος ὁ μὴ ἔχων κέρατα τράγος.

8 51/52c καὶ Ὅμηρος (Π 117) ‘κόλον δόρυ‘. κόλος δὲ λέγεται ὁ τράγος ὁ μὴ ἔχων κέρατα.

8 51/52d UEAP Μίλω δὲ εἶπεν ἀντὶ τοῦ Μίλωνι· καὶ γὰρ τὴν εὐθεῖαν οὐχ ὁ Μῖλος ἔφη, ἀλλ’ ὁ Μίλων· ‘ἔνθ’ ὁ καλὸς Μίλων βαίνει‘ (v.

8 51/52e 47). μή μοι γᾶν : οὐδέν μοι, φησί, τούτων ἡδὺ οὔτε Πέλοπος ἀρχὴ οὔτε χρυσίου πλήθη οὔτε ταχύτερον ἀνέμων εἶναι ἢ τὸ ἔχειν ἐν ἀγκάλαις τὸν Μίλωνα.

8 53-56b αὐτάρκης τις ὁ Δάφνις ἥδεται ἐν ταῖς ἀγκάλαις ἔχων τὸν ἐρώμενον ὑπὸ τῇ πέτρᾳ, ἀφορῶν τὴν Σικελικὴν ἅλα καὶ τὴν οἰκείαν. ἀλ λ ’ ὑπὸ τᾷ πέτρᾳ : ἀλλ’ εὐφραίνομαί σε ἐν ταῖς ἀγκάλαις ἔχων ὑπὸ τῇδε τῇ πέτρᾳ, ἀφορῶν τὴν Σικελίαν.

8 53-56d οὐκ ἀνιστορήτως δὲ τοῦτο ὁ Θεόκριτός φησι· καὶ Ἑρμησιάναξ (fgm. 2 Bach Phil. Coi, Herm. Col. atque Phan. rell. 112) γὰρ λέγει τὸν Δάφνιν ἐρωτικῶς ἔχειν τοῦ Μενάλκα. ἀλλ’ ὁ μὲν ἐπ’ Εὐβοίας τὰ περὶ αὐτοῦ διατίθεται, οὗτος δὲ ἐπὶ Σικελίας. ὕδασι δ ’ αὐχμός : τοῖς ὕδασιν ὁ αὐχμὸς κακός ἐστιν, ὅτι ἀποξηραίνεται καὶ ἀφανίζεται.

8 57b δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν , ὕδασι δ ’ αὐχμός : ἀποξηραίνεται γὰρ ὄντος αὐχμοῦ. ὕσπληγξ : ἡ πάγη· κυρίως δὲ ἡ τῶν δρομέων ἀφετηρία.

8 58a ἀπὸ κοινοῦ δὲ τὸ φοβερὸν κακόν. ἀγροτέροις δὲ λίνα : τοῖς δὲ ἀγριμαίοις τὰ δίκτυα.

8 58b ἀπὸ κοινοῦ τὸ φοβερόν ἐστι καὶ κακόν. 〈 ἀγροτέροις : 〉 τοῖς ἐν τῷ ἀγρῷ οὖσιν ἢ ταῖς πέρδιξι καὶ τοῖς λοιποῖς.

8 59 κακὸν ἀνδρὶ παρθενικῆς πόθος διὰ τὸ ἐρᾶν, μὴ ῥᾳδίως δὲ τυγχάνειν. K τοκάδες αἱ μητέρες τῶν ἐρίφων.

8 63* U g E g ὦ Λάμπουρε κύον : Λάμπουρος ἢ λευκὴν οὐρὰν ἔχων ἢ ἐπιμελῶς φυλάσσων ἐγκειμένου μετὰ τοῦ λάμπειν καὶ τοῦ ὠρεῖν, ὅ ἐστι φυλάσσειν, ἢ παρὰ τὸ λαμπουρίδι ἴσον εἶναι, ἐπειδὴ κύνες εἰσὶν ἀλώπηξιν ὅμοιοι· λαμπουρὶς γὰρ ἡ K ἀλώπηξ.

8 65b ὦ Λάμπουρε κύον : ὄνομα κυνὸς ἀπὸ τοῦ λαμπρὰν ἔχειν τὴν οὐρὰν ἤγουν πυρρὰν ἢ ἀπὸ τοῦ λίαν φυλάσσειν. U g E g GPT οὐ χρὴ κοιμᾶσθαι βαθέως : τοῦτο ἀπὸ τοῦ Ὁμήρου ὁ Θεόκριτος ἔσχε.

8 66a φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῆς Ἰλιάδος (Β 24)· ‘οὐ χρὴ παννύχιον εὕδειν‘. UEAT σὺν παιδί : οἱ γὰρ παῖδες μὴ εἰώθασι τῶν ποιμνίων ἐπιμέλειαν ποιεῖσθαι προσήκουσαν, ἀλλ’ ἀμελεῖν ἢ ῥᾳθυμοῦντες ἢ παιγνίοις ἀσχολούμενοι· οἱ δὲ ἔνηβοι κρείττονα τὴν ἐπιμέλειαν ποιοῦσι, ὥστε καὶ τοῖς κυσὶ κοιμωμένοις οὐ φροντὶς αὐτῶν.

8 67/68a καὶ ὑμεῖς οἶες μὴ ὀκνεῖτε εἰς κόρον βόσκεσθαι. ἂν γὰρ πλῆθος πάλιν γένηται καὶ φυῇ βοτάνη πολλή, οὐ καμεῖσθε τότε. K οὐ μὴ κακοπαθήσητε, ὅταν πάλιν αὕτη ἀναβλαστήσῃ.

8 67/68c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὔτι καμεῖσ θ ’ ὄκκα πάλιν ἅδε φύηται : οὐ μὴ καταπονηθῆτε νεμόμεναι, ὅταν νέα βοτάνη πάλιν φυῇ. U g E g GPT 〈 οὔτι καμεῖσ θ’ : 〉 οὐ καμεῖσθε τὴν πόαν 〈νεμόμεναι〉 U g E g ὡς μὴ οὖσαν.

8 72a σύνοφρυς κόρα : συγκεκολλημένας ἔχουσα τὰς ὀφρῦς, τουτέστιν εὐόμματος καὶ συνετή. κόρην δὲ λέγει τὴν ἐρασθεῖσαν αὐτῷ Νύμφην. 〈 σύνοφρυς : 〉 μελανόφρυς· δοκεῖ γὰρ καὶ τὸ σκοτεινότερον πύκνωσιν ἔχειν.

8 73 καλὸν καλόν : καλὸν τὸν εὐειδῆ λέγει· κάλλος γάρ ἐστι συμμετρία μελῶν καὶ μερῶν μετ’ εὐχροίας. οὐ μὰν οὐδὲ λόγων : ἀλλ’ οὐδὲ λόγον αὐτῇ ἀπεκρίθην, οἷον οὐδὲ τὸ τυχόν.

8 74a δοκεῖ δὲ τὸ ἔπος ἡμαρτῆσθαι ἐνταῦθα· ἔνθεν οἱ μὲν γράφουσιν οὐδὲ λόγον ἐκρίθην ἄτοπο ν , πικρὸν αὐτ ᾷ , τουτέστιν οὐδὲ σκαιὸν λόγον ἀπεκρινάμην αὐτῇ, οὔτε τῶν πρὸς τὸ λυπηρὸν οὔτε τῶν πρὸς ἡδονήν 〈· οἱ δὲ ...〉 . τὸ πικρὸν αὐτᾷ : ὅπερ, τὸ μὴ ἀποκριθῆναί με, πικρὸν ἦν αὐτῇ. [5]

8 74b τινὰ δὲ τῶν ἀντιγράφων τὸν πικρὸν ἔχουσιν, ἵν’ ᾖ· οὐ μὴν οὐδὲ ἀπεκρίθην αὐτῇ οὐδὲν πικρὸν ὧν λέγεται. εἰς ταύτην γὰρ καλῶς εἰποῦσαν οὐδὲν ἔδει πικρὸν ῥηθῆναι. καὶ κρεῖττον ἂν εἴη, εἰ τὸν πικρὸν γράφοιτο· ἀπαιτεῖ γὰρ καὶ τὸ μέτρον. ὡς οἱ παῖδες ἄεισαν : τοῦτό ἐστι τοῦ ποιητοῦ καὶ ἔστι τὸ σχῆμα παραβατικὸν καὶ ἀνακεφαλαίωσις. [5]

8 84 λάσδεο : ἆθλον δὲ ἡ σῦριγξ αὐτοῖς [ἐπίκειται καὶ] πρόκειται, ἣν ἐπιδίδωσιν ὁ κριτὴς τῷ Δάφνιδι ὡς νικήσαντι. οἱ μὲν χρώματος εἶδος τὴν μυτάλη ν , οἱ δὲ ὄνομα ἤκουσαν, οἱ δὲ τελευταίαν· Καλλίμαχος (fgm.

8 86a 498 Schneider, II 655)· ‘θήκατο μὴ εἰς αἷμα πιεῖν μύταλον.‘ τήναν τὰν μιτύλαν : μιτύλαν αἶγά φησι τὴν μὴ ἔχουσαν κέρατα.

8 86b L g UEAGPT ἅτις ὑπὲρ κεφαλᾶς : ὑπὲρ τὰ χείλη τοῦ ἀμολγέως πλήρη τὸν ἀμολγέα ποιεῖ.

8 87a ἀμολγεὺς δὲ ἀγγεῖον δεκτικὸν γάλακτος. ὑπὲρ κεφαλᾶς δὲ ἀντὶ τοῦ· ἕως κεφαλῆς γεμίζει τὸν ἀμολγέα.

8 87b GPT ἥτις γεμίζει πάντα μέχρι καὶ τῆς στεφάνης.

8 87c U g E g ὡς μὲν ὁ παῖς : ἀναστρέψας εἴρηκεν.

8 88/89a ἡ γὰρ σύνταξις αὕτη· ὡς ἂν ἅλοιτο ὁ ἀμνὸς πρὸς τὴν μητέρα αὐτοῦ, οὕτω καὶ ὁ Δάφνις ἡσθεὶς ἐπὶ τῇ νίκῃ ἥλατο. K τάττεται δὲ ἐναλλάξ, πρότερον τὸ ὡς ὁ νεβρὸς ἅλλεται ἐπὶ τὴν μητέρα, 〈εἶτα τὸ〉 οὕτω καὶ ὁ παῖς ἐχάρη.

8 88/89b L g ὁ παῖς ἐχάρη καὶ ἀνάλατο : ὁ παῖς, ἤγουν ὁ Δάφνις.

8 88/89c τὸ σχῆμα ἀντιστροφή. G καὶ πλατάγησε : καὶ τὰς χεῖρας ἐκρότησε.

8 88/89d U g E g GP g ὡς δὲ κατεσμύχθη : καὶ τοῦτο ἀντέστραπται ὁμοίως· ὡς ἂν γάμῳ νύμφη λυπηθείη, οὕτω καὶ ὁ Μενάλκας ἡττηθεὶς ἐλυπήθη.

8 90/91a K κατεσμύχθη οἷον κατεσβέσθη 〈τὸν θυμὸν〉 καὶ ἐν αὐτῷ ἐκάη καὶ ἐλυπήθη.

8 90/91b ἀνετράπετο δὲ ἀντὶ τοῦ [οἷον]· K r UEAGPT ἐξελύθη ὑπὸ λύπης. νύμφα γαμηθεῖ ς ’ ἀκάχοιτο : οὕτως ἐλυπεῖτο ὁ Μενάλκας, καθὰ καὶ νύμφη ἡ ἄρτι πρῶτον γαμηθεῖσα ἀκάχοιτο.

8 90/91c λυποῦνται γὰρ αἱ τοιαῦται διὰ τὸ κατὰ τὸν καιρὸν ἐκεῖνον πόνῳ τιτρώσκεσθαι. οὕτω καὶ νύμφα : οὕτω καὶ νεωστὶ παρθένος γαμηθεῖσα λυπηθείη.

8 93a καὶ Νύμφαν ἄκρηβος : ἱστοροῦσι γὰρ αὐτὸν ὑπό τινος ἀγαπηθῆναι Νύμφης, ἣν Σωσίθεος (Nauck Trag. gr. fgm. 2 821) Θάλειαν καλεῖ. παρακελευσαμένης δὲ αὐτῆς ἄλλῃ γυναικὶ μὴ ὁμιλεῖν, μὴ τηρήσας τὴν παραίνεσιν αὐτῆς ἐμισήθη αὐτῇ. ὅθεν ὁ μὲν Θεόκριτός φησι τὴν Νύμφην ἀποστῆναι ἀπ’ αὐτοῦ, αὐτὸν δὲ ἀντιμεταλαβόντα τὸν ἐκείνης ἔρωτα ὑπὸ λύπης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μεταλλάξαι τὸν βίον (I 64 seqq.)· ἐκτὸς εἰ μὴ αὐτὸν μέν φησιν ἀπείπασθαι αὐτήν, ἄλλης δ' ἐρασθῆναι· 'ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις' (VII 73). οἱ δὲ λοιποί φασι τυφλωθῆναι αὐτὸν καὶ ἀλώμενον κατακρημνισθῆναι. καὶ Νύμφαν ἄκρηβος : Νύμφην τὴν Ξενίαν λέγει.

8 93b ἄκρηβος δὲ ὁ ἀρχὴν ἔχων τῆς ἡλικίας. Βουκολιασταί.

9 t 〈γ′〉 Τὰ μὲν πράγματα ἐπὶ Σικελίας ὑφίστανται.

9 arg παρακαλοῦνται δὲ ὑπὸ συννομέως Δάφνις καὶ Μενάλκας, ὅπως ἀλλήλοις ἀντᾴσωσιν. οὐδὲν δὲ ἔχει πρὸς τὸν Μενάλκαν τοῦτον ὄντα Σικελὸν 〈τὰ〉 ὑπὲρ Μενάλκου Χαλκιδέως, ὅν φησιν Ἑρμησιάναξ (fgm. 3 Bach, Phil. Coi, Herm. Coloph. atque Phan. rell. 112) ἐρασθῆναι τῆς Κρηναίας Εὐίππης καὶ διὰ τὸ μὴ τυγχάνειν αὐτῆς κατακρημνισθῆναι. νομεύς τις προλογίζει ὁ καὶ κριτής.

9 1/2a L g U g E g A g P g T g τὸ δὲ ἑξῆς οὕτως· βουκολιάζεο Δάφν ι , συναρξάσθω δὲ Μενάλκα ς .

9 1/2b τὸ δὲ βουκολιάζε ο , τουτέστι βουκολικὴν φωνὴν λέγε. ἰστέον, ὅτι ἢ τὸν αὐτὸν ὃν προεῖπε Μενάλκαν καὶ πάλιν φησί—τότε γὰρ ἴσως ἔνεμε μῆλα (VIII 2), νῦν δὲ βόας—ἢ ἕτερον Μενάλκαν βουκόλον. 〈 ἐφεψάσθω : 〉 ἀποκρινέσθω ἐξ ἀμοιβῆς.

9 1/2[c] L g U g E g συναψάσθω δὲ Μενάλκας : συνεργάτης ἔστω.

9 1/2[d] P βουσὶν ὑφέντες : ταῖς βουσίν, θηλυκῶς· τοὺς μόσχους ταῖς βουσὶν ὑφέντες, ἤτοι ὑποβαλόντες.

9 3a KUEA ὑπὸ στείραισι δέ : ἡ ὑπὸ ἀντὶ τῆς ἐπί, ἵν' ᾖ· ἐπὶ στείραισι τοὺς ταύρους ἀφέντες, —ἵνα τέκωσιν, ὥς τινες· KUEAT στείρας δὲ εἶπε τὰς οὔπω τετοκυίας.

9 3c 〈...〉 αἱ γὰρ εἰς ἅπαν ἄτοκοι στεῖραι καλοῦνται ἢ διὰ τὸ στερεὸν εἶναι τὸ σῶμα ὡσανεὶ ὑπὸ τόκων μὴ ἐκλυόμενον ἢ παρὰ τὸ ἐστερῆσθαι γόνου. χοἱ μὲν ἅμα : καὶ οἱ ταῦροι ἅμα ταῖς βουσὶν ἕποιντο ἐπὶ τὰς φυλλάδας.

9 5a μηδὲν ἀτιμαγελεῦντες : μηδαμῶς καταλείποντες τὴν ἀγέλην. τοὺς γὰρ καταλιμπάνοντας τὸ κοινὸν τῆς ἀγέλης καὶ καθ' ἑαυτοὺς νεμομένους οὕτω καλοῦσιν. 〈 ἀτιμαγελεῦντες : 〉 καταφρονοῦντες τῆς ἀγέλης.

9 5[c] μηδὲν ἄτιμα γελεῦντες : μὴ ἄτιμα χαίροντες. ἕν πο θ ' ἓν : ἓν πρὸς ἓν ᾠδάριον, τουτέστιν ἀμοιβαδίς.

9 6a ἢ ἔμποθεν ἀντὶ τοῦ ποθέν, ὡς εἶναι τὸ πλῆρες· ἔμποθεν παρασκευασάμενος μέλος. Ὅμηρος (α 10)· 'τῶν ἁμόθεν γε θεά'. ἀλλ' οὐδὲν ἔχει τὸ ἁμόθεν σύνεγγυς. 〈 ἄλλοθεν : 〉 ἀπὸ τῆς ἄλλης ἀρχῆς ἢ ἀπὸ τοῦ ἄλλου μέρους.

9 7* ἀρχὴ τῆς ᾠδῆς. στιβάς : ἡ ἐκ χόρτων κατάστρωσις αὐτοσχέδιος.

9 9a εἴρηται παρὰ τὸ συμπεπιλῶσθαι καὶ καταπεπατῆσθαι. νένασται : ἐξήπλωται.

9 9c νένασται : ὑπέστρωται, σεσώρευται ἀπὸ τοῦ νάω νῶ τὸ σωρεύω. τάς μοι ἀ π ' ἄκρας λὶψ κόμαρον τρωγοίσας : τῶν βοῶν αὐτοῦ φησί τινας κατακρημνισθῆναι ὑπὸ τοῦ λιβός.

9 10/11 ἡ δὲ σύνταξις· ἀπὸ ἄκρας σκοπιᾶς. ὅσσον ἐρῶντι πατρὸς μύθων ἢ ματρὸς ἀκούειν : λείπει τὸ παῖδες.

9 13 τὸ δὲ ἢ ἀντὶ τοῦ καί. τὸ οὑτῶς περισπᾶται, ὡς ἀξιοῖ Μουνάτιος, τὸ δὲ χωρὶς τοῦ ς οὕτω οὐκέτι.

9 14 K Αἴτνα μᾶτερ : τὴν Αἴτνην φησὶ μητέρα Μενάλκου, καθότι ἐν αὐτῇ διέτριβε· καὶ Ὅμηρος (Θ 47) τὴν Ἴδην φησὶ 'μητέρα θηρῶν'.

9 15[b] 〈 Αἴτνα μᾶτερ : 〉 ἐν Σικελίᾳ γὰρ τὰ πράγματα. L g U g E g ὅσ ς ' ἐν ὀνείρῳ : ὡς εἰ ἔλεγε περιουσίαν ἄφθονον· τοιαῦται γὰρ αἱ ὀνειρωκτικαὶ φαντασίαι.

9 16/17a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ παρ’ Ὁμήρῳ (Ι 385) ἔνιαι ἐκδόσεις οὕτως ἔχουσιν· ‘οὐδ’ εἴ μοι τόσα δοίη, ὅσα ψεύδονται ὄνειροι.‘ KUEAT 〈 ὅσ ς ’ ἐν ὀνείρῳ : 〉 ἤγουν εὐτυχής εἰμι· εὐδαιμονοῦσι γὰρ ὡς ἐπὶ πολὺ τοῖς ὀνείροις οἱ ἄνθρωποι.

9 16/17c ἔχω δέ τοι ὅσ ς ’ ἐν ὀνείρῳ : ἀπὸ τῆς παροιμίας· ὅσς’ ἐν ὀνείρῳ φέρειν. GPT χόρια ζεῖ : ἀντὶ τοῦ 〈ἐν〉 τοῖς ἄνθραξι τοῖς ἀπὸ δρυός.

9 19a χόρια δὲ τὰ τῶν ἐμβρύων ἀγγεῖα. εἰώθασι γὰρ ἐν γάλακτι καταπλάσσοντες καὶ ξηραίνοντες ὀπτᾶν, εἶτα ἐσθίειν KUEAT ταῦτα, ἅ καὶ χόρια προσαγορεύουσι. 〈...〉 ‘κρατὶ ὑοστρόφοιο γέννας χόριά τ’ ἐμβρύων τε πλήρη.‘ ἔμβρυον γὰρ ἀπὸ τοῦ ἐν ἑαυτῷ τὴν βορὰν ἔχειν ἢ ἀπὸ τοῦ βρύειν καὶ αὔξεσθαι, χόρια δὲ καλοῦσι τοὺς ὑμένας, οὓς πληροῦσι τοῦ ἀμελχθέντος γάλακτος, ἐσθίουσι δὲ θέντες ὑπὸ τὸ πῦρ. χόρια ζεῖ : χόρια τὰ ἀγγεῖα τῶν ἐμβρύων ἢ αἱ ἀπὸ τῶν ἐντέρων πλεκόμεναι χορδαί. [5]

9 20/21a φαγοί : εἶδος δρυός. εἴρηται δέ, ὅτι πρὸ τῶν Δημητριακῶν καρπῶν τὰς βαλάνους ἤσθιον· ἢ πηγούς τινας παρὰ τὸ εὐπαγεῖς εἶναι. εἰσὶ δὲ δρυὸς γένη ε′· φηγός, ἡμερὶς 〈ἡ καὶ〉 ἐτυμόδρυς, 〈αἰγίλωψ, πλατύφυλλοσ〉 καὶ ἁλίφλοιος. ἔχω δέ τοι οὐ δ ’ ὅσον ὤραν : οὐδόλως ἔχω φροντίδα τοῦ χειμῶνος.

9 20/21c ἄμυλος εἶδός τι ἄρτου, ἐκ τῶν σητανίων λεγομένων πυρῶν γενόμενος. KUEAT ἄμυλος δὲ ὁ ἄρτος ὁ ἄνευ μύλου γενόμενος· ἀποβρέχοντες γὰρ τὸν πυρὸν ἀποθλίβουσι.

9 20/21e οὐκ ἔχω δὲ 〈οὐδὲ〉 μικρὰν φροντίδα χειμῶνος, ὥσπερ οὐδὲ νωδὸς ἀνὴρ καρύων καὶ καρυδίων παρόντος αὐτῷ ἀμύλοιο ἤτοι πλακοῦντος. ἐν γὰρ τῷ πλακοῦντί εἰσι καὶ κάρυα. UEAT 〈 ἀμύλοιο : 〉 ἁπαλὴ βρῶσις.

9 20/21f U g E g P g 〈 ἀμύλοιο : 〉 ἁπαλῆς τροφῆς ἤγουν κουρκούτης.

9 20/21[g] L g 〈 ἀμύλοιο : 〉 τοῦ λεγομένου ἀποθέρμου· χωρὶς μύλου γὰρ γίνεται.

9 20/21h L g E g κορύναν : ῥόπαλον.

9 23a εἴρηται παρὰ τὸ κάρα ἢ παρὰ τὸ ἄκρον· βαρύτερον γὰρ κατὰ τὸ ἄκρον μέρος. Ἀμερίας δέ φησι κορδύλην, σκυτάλης εἶδος. Θεόφραστος (Hist. plant. III 5, 1) δὲ τὴν ἐλάτῃ ἐμφυομένην ἴσως φησὶ καὶ τραχυνοK μένην 〈...〉 [ἀπὸ τοῦ ἡ κορύνη.] κορύνη τὸ ῥόπαλον. [5]

9 23b εἴρηται δὲ παρὰ τὸ κάρα 〈ἢ παρὰ τὸ ἄκρον〉 · βαρύτερον γάρ ἐστι περὶ τὸ ἄκρον. L g U g E g AGPT ῥόπαλον δέ ἐστιν ἀμυντήριον ἑτερορρεπές, ἐξ ἑνὸς μέρους ῥοπὴν ἔχον καὶ βάρος.

9 23c GPT αὐτοφυῆ : ἐκ φύσεως ἐπικαμπῆ καὶ οὐκ ἐξ ἐπιτεχνήσεως.

9 25-27a στρόμβου καλὸν ὄστρακον : στρόμβος κογχύλη ἀπὸ τοῦ συνεστράφθαι. τούτου δέ, φησί, τὸ κρέας αὐτὸς ἐπασάμην μετὰ ε′ μερισάμενος, ὅτε ἔλαβον αὐτόν. ἐν Ἰκαρίαισιν : Ἰκάριαι πέτραι νῦν οὐκ ἂν λέγοιντο αἱ περὶ Ἴκαρον τὴν νῆσον, ὀνομάζοιντο δ’ ἄν τινες ἴσως καὶ περὶ Σικελίαν· ὁ γὰρ λέγων ἀγροῖκος Σικελός.

9 25-27c πέτραις ἐνὶ Καρίαισι : ταῖς πρὸς τῇ Καρίᾳ νήσῳ. 〈 πέντε ταμὼν πέν τ ’ οὖσιν : 〉 ἤτοι σὺν πέντε ἄλλοις νομεῦσι τοῦτον καταβροχθίσας.

9 25-27[e] 〈 ἐγκαναχήσατο : 〉 ἐγέλασε χαρίεν ἐπὶ τῷ τοῦ κόχλου ὀστράκῳ. ἐκαναχήσατο : χαρίεν ἔλεγεν, ἐγέλασεν.

9 28-30a βουκολικαὶ Μοῖσαι : ταῦτα ὁ νομεὺς ἢ Θεόκριτος λέγει. ὦ Μοῦσαι, τὸ μέρος τῆς ᾠδῆς τῆς παρ’ ἡμῖν ἐκφήνατε, μήπως μου ἐπὶ γλῶτταν φλύκταιναι φύωνται. ἐκεῖνο γὰρ γίνεται τοῖς μηδὲν πρᾶγμα εὐλόγως κρίνουσιν. βουκολικαὶ Μῶσαι : ὁ λόγος ἐκ τοῦ νομέως.

9 28-30c ἐπιστροφὴ τὸ σχῆμα. πρὸς τὰς Μούσας. μηκέ τ ’ ἐπὶ γλώσσας ἄκρας : ὁ λόγος πρὸς τὴν Μοῦσαν.

9 28-30d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἰδίως δὲ τὸν λόγον ποιησάμενος πρὸς πάσας εἰς μίαν κατέκλινεν. ἢ ὁ λόγος πρὸς τὸν Δάφνιν, ὃ καὶ κρεῖττον. 〈 μηκέ τ ' ἐπὶ γλώσσας ἄκρας : 〉 πρὸς τὸν Μενάλκαν.

9 28-30f ὀλοφυγγὼν ἡ ἐπὶ τῆς γλώττης φλύκταινα. λέγουσι δὲ αὐτὴν οἱ Ἀττικοὶ ὀλοφυκτίδα. ὅταν αὕτη γένηται ἐπὶ τῇ γλώττῃ, εἰώθασι λέγειν αἱ γυναῖκες, ὡς ἀποτεθεῖσάν σοι μερίδα οὐκ ἀπέδωκας. KUEAT τᾶς μοι πᾶς 〈εἴη〉 πλεῖος δόμος : τῆς ᾠδῆς καὶ τῆς μουσικῆς, φησί.

9 33-36a KL m U r E g A οὔτε γὰρ ὕπνος οὔ τ ' ἔαρ ἐξαπίνας γλυκερώτερον : οὔτε ὁ ὕπνος ἡμῖν γλυκύτερος οὔτε τὸ ἔαρ τὸ ἐξαίφνης ἐλθὸν τοσοῦτον γλυκύ, ὅσον ἡ μουσουργία.

9 33-36c οὓς μὲν ὁρῆτε : τουτέστιν, οἷς μέν ἐστε φίλαι, ὦ Μοῦσαι, χαίρουσιν ἐκεῖνοι. UEAT τοὺς δ ' οὔτι : ἤγουν τοὺς σοφοὺς οὐδέν τι παρατρέπει τοῦ δέοντος.

9 33-36e τούσ δ ' οὔτι ποτῷ δαλήσατο Κίρκα : ποτῷ τῷ κυκεῶνι. δαλήσατο δὲ ἀντὶ τοῦ ἔθελξε· δαλεῖς γάρ εἰσιν οἱ ἀμαθεῖς. δαλήσατο : τὸν Ὀδυσσέα σοφὸν ὄντα οὐ κατέθελξε KUEAT τὰ τῆς Κίρκης φάρμακα· τοὺς δὲ ἑταίρους ἀγνώμονας ὄντας καὶ ἀπερισκέπτους ἀπεθηρίωσεν ὁ κυκεών.

9 33-36f συώδεις γὰρ ἦσαν καὶ ἀμαθεῖς καὶ ὑπὸ τῆς Κίρκης δυνάμενοι τῷ ποτῷ μεταμορφωθῆναι εἰς ἄλογα ζῷα· KUEA συώδεις γάρ εἰσιν οἱ ἀμαθεῖς.

9 33-36h 〈 οὓς γὰρ ὁρεῦντι : 〉 διὰ τὸν Ὀδυσσέα τοῦτό φησι. οὓς δὲ οὐχ ὁρῶσι, τούτους ἔβλαψεν ἡ ἀμαθία. Ἐργατίναι ἢ θερισταί Ἄδηλον, ἐν ᾧ χωρίῳ διάκειται τὰ πράγματα.

10 arg a Μίλων δ' ἐστὶ καὶ Βάττος ἐν τῷ θερίζειν προσδιαλεγόμενοι ἀλλήλοις. ἐρᾷ δὲ ὁ Βάττος Βομβύκης αὐλητρίδος, Πολυβώτου τινὸς εἴτε θυγατρὸς εἴτε θεραπαινίδος, καὶ ἐπὶ τούτῳ ὁ Μίλων ἐρεθίζει αὐτὸν ὡς βραδέως θερίζοντα. τοῦ δὲ Βάττου τὴν [μὲν] αὑτοῦ δυσθυμίαν εἰπόντος ὡς Βομβύκης ἐρῶ καὶ διὰ τοῦτο κάμνω τὴν ψυχήν, ὁ Μίλων προσπαίζων αὐτῷ τὴν φίλην αὐτοῦ μάντιν καλαμαίαν φησίν, ἐπεὶ καὶ μέλαινα καὶ λεπτὴ καὶ ἀνάκωλος· τοιαῦται δὲ καὶ ἐν ταῖς χώραις αἱ ἀκρίδες.

10 arg b Βάττος δὲ ἐπὶ τούτοις μήτι μεγαλορρημονεῖν ἔφησεν αὐτῷ· τυφλὸν γὰρ οὐ μόνον τὸν Πλοῦτον, ἀλλὰ καὶ τὸν Ἔρωτα τὸν ἀκρίτως προϊόντα λέγεσθαι. ὑπερεθισθεὶς δὲ ὁ Βάττος ὑπὸ Μίλωνος εἰς τὴν ἐρωμένην αὐτοῦ ἀπήγγειλεν ᾠδήν. παυσαμένου δὲ αὐτοῦ τῆς ᾠδῆς ἀναδέχεται ὁ Μίλων καὶ ὡς πρέπουσαν ἐργάτῃ ᾠδὴν εἴρηκε περιέχουσαν τὰ περὶ τοῦ Λιτυέρσου τοῦ Μίδου υἱοῦ, ὃν Ἡρακλῆς ἀνεῖλε πολλοὺς ἀναιροῦντα ἐν τῷ θερίζειν. παραινεῖ δὲ αὐτῷ λοιπὸν τὸν κατ' αὐτὸν ἔρωτα διηγεῖσθαι κατὰ τὸν ὄρθρον τῇ μητρί. βουκαῖος : ὁ ἐπὶ ἡμιόνων κομίζων τὰς ὕλας ἢ ὁ ἀροτὴρ ὁ τοῖς βουσὶ τέμνων καὶ καίνων τὴν γῆν.

10 1-3a [λέγεται ὑποκοριστικῶς.] εἰρῆσθαι δὲ τὸν βουκόλον ὑποκοριστικῶς 〈φασιν〉 , οἱ δὲ τὸν θεριστήν. K βουκαῖον οἱ μὲν τὸν θεριστὴν ἀπὸ τοῦ βου ἐπιτατικοῦ καὶ τοῦ καίνω τὸ κόπτω καὶ θερίζω, ὁ μεγάλως καίνων· ἢ σὺν βοῇ καὶ ᾠδῇ.

10 1-3b τινὲς δὲ τὸν βουκόλον. βέλτιον δὲ τὸν ἀροτῆρα ἀκούειν, τὸν σὺν τοῖς βουσὶ καίνοντα τὴν γῆν. Δίφιλος (ὁ Λαοδικεύς, cf. Athen. VII 314d) δὲ ἐν τῷ πρώτῳ τῶν Νικάνδρου Θηριακῶν κύριον ὄνομα τὸν Βουκαῖον λέγει. τὸ δ' ἑξῆς· ὦ ταλαίπωρε θεριστά, τί πεπονθὼς οὔτε τὴν τάξιν ὡς πρότερον διατηρεῖς οὔθ' ἅμα τῷ πλησίον θερίKUEAPT ζεις, ἀλλὰ καθυστερεῖς; ὄγμον : τὴν αὔλακα παρὰ τὸ διοιχθῆναι τὴν γῆν.

10 1-3d οἱ δὲ τὴν τάξιν, οἱ δὲ τὸν ὄρχον, οἱ δὲ τὸν χόρτον. κυρίως δὲ ἡ ἐπ' εὐθείας τομὴ τῆς αὔλακος, καὶ ἔστιν ὄγμος οἷον ἀπὸ τοῦ διοίγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀρότρου. νῦν δὲ κεῖται ἡ λέξις ἐπὶ τῆς εἰς εὐθὺ τάξεως τοῦ θερισμοῦ, ὡς Ὅμηρος (Λ 68)· ‘ὄγμον ἐλαύνει‘. οὐ τεὸν ὄγμον : ὄγμος κυρίως ἡ [ἀπὸ] τοῦ ἀρότρου τομή, ἤγουν ἡ αὖλαξ, ἀπὸ τοῦ διοίγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροτριῶντος.

10 1-3e

νῦν δὲ κεῖται ὁ λόγος ἐπὶ τῆς κατ’ εὐθὺ τάξεως τοῦ θερισμοῦ. 〈 ὄγμος 〉 ἡ ἐπίστιχος φυτεία ἀπὸ τοῦ οἴγειν καὶ ἀνοίγειν.

10 1-3g ὄγμος ἡ τάξις, ὁ ὄρχος. ἄλλοι δὲ ὄγμον τὸ γεωργικὸν ἐργαλεῖόν φασιν. οὔ θ ’ ἅμα λᾳοτομεῖς τῷ πλατίον : τὸ λῄϊον τέμνεις, θερίζεις.

10 4 〈 κάκτος : 〉 εἶδος φυτοῦ ἀκανθώδους ἀπὸ τοῦ κατακαίνω τὸ λυπῶ. ποῖός τις : πῶς, φησίν, οὐκ ἀργότερος ἔσῃ προϊούσης τῆς ἡμέρας, ὁπότε νῦν ἀρχόμενος τῆς ἐργασίας οὐκ ἀποτέμνεις τῆς αὔλακος οὐδέν; ποῖός τις δείλαν τε : ποταπὸς ἔσῃ κατὰ μεσημβρίαν καὶ δείλην, ὃς νῦν ἀρξάμενος οὐ μειοῖς καὶ ἐλαττοῖς τὸν στίχον τοῦ θέρους; τὸ γὰρ ἀποτρώγεις τοῦτο δηλοῖ.

10 5/6c ποταπὸς ἔσῃ προϊούσης ἡμέρας, ὅτε νῦν ῥᾳθυμεῖς τῆς ἐργασίας ἀρχόμενος, καὶ εἴπερ σε καὶ τὸ καῦμα ἐκλύει περὶ τὴν δείλην; L m E g AT ὀψαμᾶτα : ὁ μέχρις ὀψὲ θερίζων καὶ μὴ ἐνδούς.

10 7a K Μίλων ὀψαμᾶτα : τουτέστι μέχρι ὀψίας θερίζων καὶ κακοπαθῶν καὶ μὴ ἐνδιδούς.

10 7b τοῦτο δέ φησιν, ἐπεὶ οὗτος ἐν ἀρχῇ τοῦτον εἶπεν ἐκλελύσθαι. UEA Μίλων ὀψαμᾶτα : ἐπεὶ ὁ Μίλων ἐν ἀρχῇ τὸν Βάττον εἶπεν ἐκλελύσθαι, ὀψαμάτην τὸν Μίλωνα ὁ Βάττος καλεῖ, τουτέστι μέχρι ὀψίας θερίζοντα καὶ μὴ ἀποκάμνοντα.

10 7c GPT 〈 ὀψαμᾶτα : 〉 νωθρέ, ὀψὲ καὶ βραδέως ἀμῶν· ἢ ὄψιμε καὶ γηραιέ.

10 7[d] L g U g E g ἀτεράμνου : λιθίνης, ἀναισθήτου.

10 7e ἀτεράμνους γάρ φασι πέτρας τὰς σκληρὰς καὶ μὴ τειρομένας, καὶ ἀτέραμνα ὄσπρια τὰ ἀνέψητα. K πέτρας ἀπόκομ μ ’ ἀτεράμνου : ἀντὶ τοῦ λίθινε καὶ σκληρότατε· ἀτεράμνους γὰρ τοὺς σκληρούς φασι, τοὺς μὴ τέρενας καὶ ἁπαλούς· οἷον πέτρινε.

10 7f UEA πέτρας ἀπόκομ μ ’ ἀτεράμνω : οἷον πέτρινε, λίθινε, σκληρότατε· ἀτεράμνους γὰρ τὰς σκληρὰς πέτρας φασίν, ἐπεὶ τέρεν τὸ ἁπαλόν.

10 7g GPT οὐδέποτέ σοι συνέβη ἐρᾶν ἀπόντος; L g U g E g τίς δὲ πόθος : οὐδὲ εἷς ἐργάτῃ ἀνδρὶ ἔρως καὶ ἐκτὸς K τοῦ προκειμένου ἔργου γίνεται πόθος.

10 9 ὑποβάλλει δὲ τὸ τοῦ Εὐριπίδου (fgm. 895 Nauck Trag. graec. fgm. 2 647 )· ‘ἐν πλησμονῇ γὰρ Κύπρις, ἐν πεινῶσι δ’ οὔ.‘ χαλεπό ν , φησίν, ἐντέρων κύνα γεῦσαι · εἰ γὰρ εἴθισται, καὶ τοῖς θρέμμασιν αὐτοῖς ἐπιχειρεῖ.

10 11a ἔστι δὲ παροιμιῶδες· χαλεπὸν ἐργάτας ἄνδρας ἔρωτος πειραθῆναι. χαλεπὸν χορίω : ὥσπερ, φησίν, ὁ γευσάμενος χορίου κύων δυσαποδίωκτός ἐστιν, οὕτω καὶ ὁ ἀγροῖκος ἐρωτικοῦ πάθους γευσάμενος.

10 11c παροιμία δέ ἐστιν ἐπὶ τῶν γευσαμένων ἀθέτου τινός, δυσαποσπάστως δὲ ἐχόντων· P χαλεπὸν ἐργάτην ἄνδρα ἔρωτος πειραθῆναι.

10 12 σὺ μέν, φησίν, ἀπείρατος ἔρωτος τυγχάνεις, ἐγὼ δὲ ἐρῶ ια′ ἡμέρας ἤδη. ἐκ πίθου : ἡ παροιμία ἀπὸ τῶν ἄφθονα ἐχόντων· ἔοικας, φησίν, ἐκ περιουσίας ζῆν.

10 13b ἐκ πίθου ἀντλεῖς : τοῦτο εἰρωνευόμενός φησιν οἷον· ἐκ περιουσίας καὶ πλήρους πίθου ἀντλεῖς, ὥστε σε ἐρᾶν, καὶ οὐκ ἐκ λαγήνων· ἐγὼ δὲ ἔχω οὐδ’ ἅλις ὄξους. ἐκ πίθω ἀντλεῖς : οἷον οὕτως ἐν περιουσίᾳ ζῇς, ὥστε σε καὶ ἐρᾶν.

10 13c ἢ εἰρωνευόμενός φησιν· ἐκ περιουσίας, ἀπὸ πλήρους πίθου ἀντλεῖς καὶ οὐκ ἐκ λαγήνου· ἐγὼ δὲ οὐδὲ ὄξος ἔχω. ὄξος ἅλης : πλάνης θεράπευμα.

10 14a τοιγάρτοι : τουτέστιν ἀπὸ σπόρου 〈τὰ〉 πρὸ τῶν θυρῶν ἐκεκόσμητο ἐπιμελείας τυγχάνοντα, νῦν δὲ οὐχ ὁμοίως διὰ τὴν ἐπὶ τῇ ἐρωμένῃ λύπην. τοῦτο οὖν φησι δεῖγμα τοῦ ἐρᾶν, τὸ ἀσκάλευτον εἶναι καὶ ἀγεώργητον ἀπὸ τοῦ σπόρου τὸ πρὸ θυρῶν. 〈διὰ〉 ταύτην, φησί, τὴν αἰτίαν, ἐξ οὗ σπόρος γέγονε, ἄσκαλα πάντ α , τουτέστιν ἠμελημένα πάντα [δι’ ἔρωτα]. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

10 14c τοιγάρτοι πρὸ θυρῶν [ πρὸ θυρῶ ν ] μοι : τοιγαροῦν διὰ τὸ ὑπὸ τοῦ ἔρωτος ἐκλύεσθαί με ἀπὸ τοῦ σπόρου ἀτημέλητά μοι πάντα, οὐ μόνον τὰ πόρρω, ἀλλὰ καὶ τὰ πρὸ τῶν θυρῶν. πάλαι, φησίν, ἀπὸ τοῦ σπόρου πάντα μοι ἦν καλά, οὐ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ πρὸ τῶν θυρῶν· νῦν δ’ οὐδὲν διὰ τὸν ἔρωτα, ἀντὶ τοῦ· νῦν οὐ μόνον τὰ πόρρω, ἀλλὰ καὶ τὰ πλησίον τῶν θυρῶν μου ἀτημέλητα μένει διὰ UEAGPT τὸν ἔρωτα.

10 14e τὸ δὲ ἄσκαλα ἀπὸ τοῦ σκαλίς· σκαλὶς δέ ἐστι γεωργικὸν ἐργαλεῖον. ἄσκαλ α , τουτέστιν ἀναροτρίαστα, καὶ τὰ προαύλια· πρώην γάρ, φησίν, εἶχον ἄφθονα· νῦν δὲ καὶ τὰ πρὸ θυρῶν μοι ἀσκάλευτα πάντα διὰ τὴν ἐπὶ τῇ ἐρωμένῃ λύπην.

10 14g ἤγουν ἐρῶντός μου καὶ τὰ σύνεγγυς ἀκατέργαστα πάντα καὶ ἀκόσμητα. L g U g E g P g ἡ Πολυβώτου με, φησί, λυμαίνεται θυγάτηρ ἢ θεράπαινα, ἣ πρώην ἡμῖν θερίζουσι παρ’ Ἱπποκόωνι οὕτω καλουμένῳ προσηύλει.

10 15/16a τινὲς δὲ πολυβώτην τὸν πλούσιον. K τῶν παίδων : ταῦτα ὁ Μίλων ἐρωτᾷ, εἶτα ὁ Βάττος ἐπάγει· ἁ Πολυβώτ α .

10 15/16b δύναται δὲ καὶ αὐτὸς λέγειν ὅλον τὸν UEAT στίχον, ἵν’ ᾖ· τίς ἄρα σε, ὦ πολυβῶτ α , ὦ πλούσιε, συνεκδοχικόν. πολυβώτην δὲ εἶπεν αὐτὸν διὰ τὸ πλεοναχῶς βωτεῖν· ὦ πολυβῶτα, πολλοὺς ἔχων βόας. οἱ δὲ ζητοῦσι τὸ Πολυβώτου πότερον θυγάτηρ ἢ θεράπαινα. καὶ μὴν ἔνιοι δὲ πολυβώτην προσηγόρευον τὴν πλουσίαν. ἁ Πολυβώτα : ἀπὸ τοῦ Βάττου ὁ λόγος.

10 15/16c ἄδηλον δέ, πότερον θυγατέρα ἢ θεράπαιναν τοῦ Πολυβώτου 〈λέγει〉 . ἡ τοῦ Πολυβώτου οὖν, φησί, λυμαίνεταί με, ἥτις πρώην θεριζόντων ἡμῶν παρ’ Ἱπποκίωνι ηὔλει. εὗρε θεὸς τὸν ἀλιτρόν : δοκεῖ καὶ τοῦτο παροιμιῶδες ἐπὶ τῶν διδόντων δίκην τῆς ἁμαρτίας.

10 17a ὁ δὲ νοῦς· ἁμαρτωλόν σε ὄντα δικαίως μετῆλθε τὸ θεῖον περιπεπτωκότα οἷς ἐπεθύμεις κακοῖς. εὗρε θεὸς τὸν ἀλιτρόν : τοῦτο παροιμία ἐστίν· [καὶ] εὗρε θεὸς τὸν αἴτιον καὶ [τὸ] ἔχεις ἅπερ ἐπεθύμεις.

10 18a ἡ καλαμαία : ταύτην οἱ μὲν γραῦν σέριφον, οἱ δὲ ἀρουραίαν ὀνομάζουσιν. ἔστι δὲ ἀκρὶς 〈ἐν τῇ καλάμῃ γινομένη〉 καὶ καλεῖται μάντι ς . ἴσως δ’ ἐκ τούτου τὴν ἰσχνὴν καὶ διεφθινηκυῖαν ἢ τὴν ἐπιβλαβὲς καὶ χαλεπὸν ὁρῶσαν, ἵν’ ᾖ· ἀκρίς σοι ἀντὶ γυναικὸς χρηματισθήσεται, τουτέστι λυμανεῖται καθάπερ 〈ἡ〉 ἀκρὶς ἡ καλαμαία. τὰν νύκτα : μάντις καλαμαία ἀντὶ τοῦ ἀρουραία.

10 18b ἔστι γὰρ ἀκρὶς λεγομένη μάντις ἐν τῇ καλάμῃ γινομένη. ἴσως οὖν Θεόκριτος ἰσχνὴν εἰπεῖν θέλων καὶ διεφθινηκυῖαν τοῦτό φησιν. UEA μάντις τοι τὰν νύκτα χροΐζεται ἁ καλαμαία : τὸ καλαμαία ἀντὶ τοῦ ἀρουραία.

10 18c ἔστι δὲ ἀκρὶς ἐν τῇ καλάμῃ γινομένη καὶ καλεῖται μάντις. νῦν οὖν τὴν ἰσχνήν φησι καὶ διεφθινηκυῖαν ἢ τὴν ἐπιβλαβὲς καὶ χαλεπὸν ὁρῶσαν. GPT ἡ καλαμαία : ἡ ἐπὶ καλάμῃ ἑστῶσα καὶ γινομένη.

10 18d K Ἀρίσταρχος ἐν ὑπομνήσει Λυκούργου Αἰσχύλου (Nauck Trag.

10 18e gr. fgm. 2 40) φησὶ τὴν ἀκρίδα ταύτην, εἴ τινι ἐμβλέψειε ζῴῳ, τούτῳ κακόν τι γίνεσθαι. KUEAGPT ἔστι δὲ χλωρὰ καὶ περιμήκεις τοὺς ἐμπροσθίους πόδας ἔχουσα καὶ λεπτοὺς καὶ συνεχῶς αὐτοὺς κινοῦσα· οὐ γὰρ ὡς ἡ κοσκινόμαντις.

10 18g τὴν νύκτα · ἡ μάντις ἡ καλαμαία κατὰ τὴν νύκτα χροϊξεῖται καὶ πλησιάσει τῷ χρωτί, τοὶ καὶ σοῦ· ἀντὶ τοῦ· ἡ ἐοικυῖα τῇ καλαμαίᾳ μάντει συνευνασθήσεταί σοι. τινές φασιν εἰκάσαι τὴν Βομβύκην τῇ ἀκρίδι ταύτῃ διὰ τὸ καὶ τὴν UEAT ἀκρίδα μέλαιναν εἶναι καὶ αὐτὴν τὴν κόρην Σύραν. μάντις καλαμαία διὰ τὸ μὴ λευκὴν εἶναι ὡς οἱ Σύροι καὶ οἱ Αἰγύπτιοι.

10 18i

μάντις τοι : σκώπτει τὴν ἐρωμένην τοῦ Βάττου καὶ ἀντὶ τοῦ εἰπεῖν ὅτι ἀκρὶς συγκοιμηθήσεταί σοι, ἥ ἐστιν ἰσχνὴ καὶ λεπτὴ καὶ μέλαινα, λέγει ὅτι μάντις καλαμαία. τὴν ἀκρίδα οὖν φησι καλαμαίαν, [ἢ] ὅτι ἐν καιρῷ καλάμης ἐσθίει τὸν στάχυν· τὴν αὐτὴν δὲ καὶ μάντιν, ἢ ὅτι προμαντεύεται λιμὸν φαινομένη, ἢ ὅτι κακόχρους καὶ πρασίζουσα [οὖσα] οἷς ἂν ἐντρανίσῃ ζῴοις κακὸν προμηνύει. τυφλὸς δ ’ οὐκ αὐτὸς ὁ Πλοῦτος : τυφλὸν τὸν Πλοῦτόν φασιν, ἐπειδὴ τοὺς πλουτοῦντας ὁρῶμεν πηροῦσθαι τὴν διάνοιαν.

10 19a Δήμητρος δὲ καὶ Ἰασίωνος αὐτόν φασιν, ἐπεὶ τῇ τῶν καρπῶν εὐφορίᾳ ἰᾶται τὴν ἔνδειαν ἡμῶν. ὑπὸ Διὸς δ’ ἐπηρώθη, ὥς φησιν Ἀριστοφάνης (Plut.

10 19b 87—91), ἵνα μὴ βλέπων ἐπὶ τοὺς δικαίους μόνους ἔρχηται. οἱ δὲ τυφλὸν αὐτὸν διὰ τὸ ἄκριτον. τυφλὸς δ ’ οὐκ αὐτός : ὁ Δήμητρος καὶ Ἰασίωνος υἱός.

10 20a ὠφρόντιστος : ὁ μηδενὸς φροντίζων Ἔρως. φησίν· ἔλπιζε καὶ σὺ περιπεσεῖν ἔρωτι[κῶς] καὶ μὴ μεγαλορρημόνει.

10 21a τὸ λᾷον : κατάτεμνε, θέριζε. λᾷον δὲ τὸ λήϊον Δωρικῶς διὰ τοῦ α . 〈 κατάβαλλε τὸ λᾷον : 〉 τὸ λήϊον τέμνε ἐκθερίζων.

10 22/23a καί τι κόρας : καί τι, φησί, μέλος ἀνάκρουσον καὶ ἀναφώνησον τῇ κόρῃ· οὕτω γὰρ ἥδιον ἐργάσῃ. καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ : καί τι φιλικὸν μέλος εἰς τὴν κόρην ἀνάκρουσον.

10 24a Μοῦσαι Πιερίδες , συναείσατε τὴν ῥαδινάν μοι : ἄρχεται τῆς ᾠδῆς ὁ Βάττος. ἀρχὴ ᾠδῆς βουκόλου.

10 24c συναείσατε : σὺν ἐμοὶ ᾄσατε ἢ ἐπιπνεύσατε ᾆσαι. ῥαδινήν : τὴν ἰσχνήν· ἀκρίδι γὰρ αὐτὴν παρέβαλεν ὁ Μίλων.

10 24e 〈 ῥαδινάν : 〉 τρυφεράν. Σύραν καλέοντι : δηλονότι μέλαινάν πως τυγχάνουσαν τὴν χροιάν· τοιούτους γὰρ εἶναι τοὺς Σύρους ὡς τοὺς Αἰγυπτίους, μέλανας.

10 26/27a K Σύραν καλέοντί τυ πάντες : διὰ τὸ ἥκιστα λευκὴν αὐτὴν εἶναι· οἱ γὰρ Σύροι μέλανες.

10 26/27b ἁλιόκαυστον δὲ τὴν ὑπὸ ἡλίου κεκαυμένην. GPT μελίχλωρον : οἷον μελίχρουν ἠρέμα καὶ οὐ λίαν μέλαιναν· οἱ μὲν ἄλλοι Σύραν, ἐγὼ δὲ μελίχλωρον ἀποκαλῶ.

10 26/27d ἐγὼ δὲ μόνος μελίχλωρον : οἱ μὲν ἄλλοι Σύραν αὐτὴν καλοῦσιν, ἐγὼ δὲ μελίχλωρον, οἷον μελίχρωτα ἠρέμα καὶ οὐ λίαν μέλαιναν. GPT 〈 μελίχλωρον : 〉 μελίχρουν καὶ οὐ λίαν μέλαιναν.

10 26/27e L g U g E g ἁ γραπτὰ ὑάκινθος : τὴν γραπτὴν ὑάκινθόν φασιν ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος ἀναδοθῆναι· διά τοι τοῦτο ἔχειν ἐγγεγραμμένον αἲ αἵ, τὴν ἀρχὴν τοῦ ὀνόματος τοῦ Αἴαντος.

10 28a εἰς ὃ Εὐφορίων (fgm. 38 Scheidweiler Diss. phil. Bonn. 1908, 40) ἀπιδὼν εἶπε· ‘πορφυρέη ὑάκινθε, σὲ μὲν μία φῆμις ἀοιδῶν ‘Ροιτείῃς ἀμάθοισι δεδουπότος Αἰακίδαο εἴαρος ἀντέλλειν γεγραμμένα κωκύουσαν.‘ 〈 γραπτὰ〉 ὑάκινθος : διὰ τὸ ἐγγεγράφθαι τὸ αἲ αἵ.

10 28b εἶναι δὲ σύμβολον τῶν ἐπὶ τῷ Αἴαντι μυθολογουμένων· φῦναι γὰρ ἐκ τοῦ αἵματός φασιν αὐτοῦ τὴν ὑάκινθον, ὅτε ἐμάνη UEAT ἐπὶ Τροίᾳ περιπεσὼν τῷ ξίφει. καὶ τὸ ἴον μέλαν ἐντὶ καὶ ἁ γραπτὰ ὑάκινθος : τὴν ὑάκινθόν φασιν ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος εἶναι τοῦ ἐν Τροίᾳ μανέντος· διά τοι τοῦτο ἔχειν ἐγγεγραμμένην αἲ αἵ, τὴν ἀρχὴν τοῦ ὀνόματος τοῦ Αἴαντος.

10 28c διὰ τοῦτο οὖν καὶ γραπτὴν αὐτὴν νῦν εἶπεν. γραπτὴν λέγουσι τὴν ὑάκινθον, διότι ἐν τῷ καιρῷ, καθ’ ὃν ἐφονεύθη ὁ Αἴας, ἀνεδόθη βοτάνη καὶ εἶχε γραπτὸν τὸ αἲ αἵ.

10 28[e] τὸν ὑάκινθον τὸ αἷμα τοῦ Αἴαντος ἔβαψε λευκὸν ὄντα. ἔσχον δὲ καὶ τοῦτο· ὅταν ἔμελλον πλεῖν οἱ Σαλαμίνιοι, ἔγραφον τὴν ὑάκινθον ἐν τοῖς ἱστίοις εἰς ἀνάμνησιν τοῦ Αἴαντος.

10 29a

τὰ πρῶτα λέγοντι : ἐν τοῖς στεφάνοις τὸ ἴον καὶ τὴν ὑάκινθον. λέγοντι : τὰ πρῶτα ὅμως λέγουσιν, οἷον πρωτολογοῦσιν, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς ὑποκριταῖς πρωτολόγων.

10 30a ἁ αἶξ τὸν κύτισον : ὁ κύτισος φυτόν, ὃ νεμόμεναι αἱ αἶγες γάλακτος πλήθουσιν. ἀπὸ κοινοῦ τὸ διώκε ι , ἐπιζητεῖ.

10 31a ἁ γέρανος : ἀρχομένου γὰρ τοῦ σπόρου αἱ γέρανοι φαίνονται. μεμάνημαι : ἐρωτικῶς διάκειμαι.

10 32/33a αἴθε μοι ἦς : εἴθε ἐκεκτήμην τὰ Κροίσου· ἀμφότεροι ἂν ἦμεν ὥσπερ χρυσοῖ τῇ Ἀφροδίτῃ ἀνακείμενοι. χρύσεοι ἀμφότεροι κ ’ ἀνεκείμεθα τῇ Ἀφροδίτᾳ : ἤτοι στήλας ἡμῶν ἀμφοτέρων χρυσᾶς ἐποιήσαμεν 〈ἂν〉 καὶ ἀνεθέμεθα τῇ Ἀφροδίτῃ.

10 34/35a τοὺς αὐλούς : σὺ μὲν ἄν, φησίν, αὐλοὺς ἢ ῥόδον ἢ μῆλον εἶχες, ἐγὼ δὲ καλὸν εἶδος ὡς ἂν σχῆμα λαβὼν ὀρχηστοῦ καὶ ὑπ’ ἀμφοτέροις τοῖς ποσὶν ὑποδήματα. K ὀρχούμενον δ’ ἐγὼ ἐν τῇ εἰκόνι ἐποίουν ἐμαυτὸν ἔχοντα Λακωνικὰ ὑποδήματα.

10 34/35b KUEAGPT ἡ ἐμὴ στήλη ἐφαίνετο ἂν ἔχουσα σχῆμα ὀρχηστοῦ καὶ ἐν τοῖς ποσὶ φοροῦσα ὑποδήματα 〈Λακωνικά〉 .

10 34/35c UEAGPT ἀμύκλαι εἶδος ὑποδήματος ἀπὸ Ἀμυκλαίου 〈τινὸσ〉 τὸ πρῶτον εὑρόντος.

10 34/35d KU g E g G σχοῖμι δ ’ ἐγὼ καὶ καινὰς ἐ π ’ ἀμφοτέροισιν ἀμύκλας : ἀμύκλαι εἰσὶ Λακωνικὰ ὑποδήματα.

10 34/35e GPT οἱ μὲν πόδες : ὁ νοῦς· φημὶ διὰ τὴν ὑπερβολὴν τῆς εὐμορφίας τοὺς πόδας σου ὡς ἀστράγαλον γεγλύφθαι.

10 36a τοῦτο δὲ εἶπε, παρόσον οἱ ἀστράγαλοι ὀρθοί εἰσι καὶ λεπτοὶ καὶ εὔρυθμοι. K οἱ μὲν πόδες ἀστράγαλοί τευ : οἱ μὲν πόδες σου ἀστράγαλοί εἰσιν, οἷον εὔρυθμοι καὶ ὀρθοὶ καὶ λευκοὶ ὡς οἱ ἀστράγαλοι τῶν κυβευόντων.

10 36b UEAGPT 〈 ἀστράγαλοι : 〉 οἱ ἀστέρος δίκην ἀγλαΐζοντες.

10 36[c] GP m τρύχνος : βοτάνη ἱκανῶς μαλακή.

10 37a τάσσεται δὲ ἐπὶ τρυφερότητος. K ἁ φωνὰ δὲ τρύχνος : εἶδος βοτάνης.

10 37b τάσσεται δὲ UEAGPT καὶ ἐπὶ τρυφερότητος· τρύχνος γὰρ λάχανον ἱκανῶς μαλακόν. εἰπεῖν : ἀντὶ τοῦ· ἀγνοῶ, εἰ μὴ ἄρα ἀμείλικτον αὐτὸν ἔχεις, ὡς μηδὲ εἰπεῖν τινα ἀξίως.

10 38-40a Βοῦκος : ὁ Βουκαῖος, ὄνομα κύριον· παρὰ δὲ Νικάνδρῳ (Ther. 5) ὁ βουκόλος. ὄντως δὴ καλὰς συντιθεὶς ἀοιδὰς ἐλάνθανες ἡμᾶς, ὦ Βουκαῖε· ὡς γὰρ ἄριστα τοῦ κάλλους ἐστοχάσω τῆς ἐρωμένης. τὸ γὰρ ἁρμονίας τοῦτο σημαίνει, τῆς ἐρωμένης· τῆς ἡρμοσμένης, ὅ ἐστι φιλουμένης, οὗ τὸ ἐναντίον ἀνάρσιον. ἦ καλὰς ἄμμε ποῶν ἐλελήθει Βοῦκος ἀοιδάς : τοῦτο ὁ Μίλων εἰρωνευόμενος ἐν ἤθει φησί. [5]

10 38-40b συγκέκοφε δὲ τὸ ὄνομα, τὸν Βουκαῖον Βοῦκον εἰπὼν ὑποκοριστικῶς. ὡς εὖ τὰν ἰδέαν : ταῦτα λέγων ὑβρίζει αὐτόν, ὡς φανερὸν ἐκ τῆς ἐπαγωγῆς· οἴμοι τοῦ πώγωνο ς .

10 38-40c γυμνότερον γὰρ αὐτὸν ἐλοιδόρησε, παρόσον ἐργάτης ὢν οὐ δεόντως ἐρᾷ. τοὺς δ’ εὐήθεις σκώπτουσι μάλιστα ἐκ τῶν γενείων. ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν : καὶ τοῦτο κατ’ εἰρωνείαν· ὡς εὖ τὸ τῆς ἁρμονίας εἶδος ἐρρύθμισεν ὁ βουκαῖος.

10 38-40[e] ἱκανῶς τὴν τραγῳδίαν ἐποίησε καὶ ἀρίστως αὐτὴν ἥρμοσεν. τῶ πώγωνος : τὸ τῆς εἰρωνείας ἐξέφηνεν ὁ Μίλων καταγελῶν αὐτοῦ, ἐπειδὴ ἐρωτικὸν ᾄδει ἐργάτης ὤν.

10 41/42a θᾶσαι δή : ὁ λόγος ἐκ τοῦ βουκαίου. δυνατὸν δὲ καὶ τὸν ἕτερον ταῦτα λέγειν. θᾶσαι δή : καὶ ἄκουσον.

10 41/42[b]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἔστι τὸ σχῆμα αἴσθησις ἀντὶ αἰσθήσεως. ὁ δὲ Λιτυέρσας ἦν Μίδου νόθος παῖς, γεωργὸς δὲ ὢν τοὺς παριόντας θερίζειν ἠνάγκαζε καὶ κατὰ τὴν ἑσπέραν συναπέτεμε τοῖς δράγμασιν αὐτῶν τὰς κεφαλάς.

10 41/42c ὃν ὁ Ἡρακλῆς ὕστερον ἔκτεινε. UEA τοῦτον δέ φησιν Ἀπολλόδωρος (fgm.

10 41/42d 37 Mueller Fgm. hist. gr. I 434) ᾠδὴν εἶναι θεριστῶν λέγων οὕτω· ‘καθάπερ ἐν μὲν θρήνοις Ἰάλεμος, ἐν δὲ ὕμνοις Ἴουλος, ἀφ’ ὧν καὶ τὰς ᾠδὰς αὐτὰς καλοῦσιν, οὕτω καὶ τῶν θεριστῶν UEAT ᾠδὴ Λιτυέρσας.‘ θέασαι, φησί, καὶ ταύτην μου τὴν τραγῳδίαν, ἣν περὶ τοῦ Λιτυέρσου μέλλω ᾆσαι. [5]

10 41/42e οὗτος δὲ ὁ Λιτυέρσης οἰκῶν Κελαινὰς τῆς Φρυγίας τοὺς παριόντας τῶν ξένων εὐωχῶν ἠνάγκαζε μετ’ αὐτοῦ θερίζειν. εἶτα ἑσπέρας ἀποκόπτων τὰς UEAGPT κεφαλὰς αὐτῶν τὸ λοιπὸν σῶμα ἐν τοῖς δράγμασι συνειλῶν ᾖδεν. Ἡρακλῆς δὲ ἀναιρήσας αὐτὸν κατὰ τὸν Μαίανδρον ποταμὸν ἔρριψεν, ὅθεν καὶ νῦν οἱ θερισταὶ κατὰ Φρυγίαν ᾄδουσιν αὐτὸν ἐγκωμιάζοντες ὡς ἄριστον θεριστήν. εἶτα ἑξῆς ᾄδων ὁ Βάττος τὴν τοῦ Λιτυέρσου ᾠδήν φησι· ‘ Δάματερ πολύκαρπ ε . [5]

10 41/42f ‘ UEAT Δάματερ πολύκαρπε : αὕτη ἐστὶν ἡ τοῦ Λιτυέρσου ᾠδή, τὸ Δάματερ πολύκαρπ ε .

10 41/42g PT σφίγγε τ ’ ἀμαλοδέται : ἀπέστρεψε τὸν λόγον ᾄσας.

10 44a K ἀμαλοδέται δὲ οἱ τὰς ἀμάλας συνδέοντες. ἀμάλη δὲ συνέστηκεν ἐκ δραγμάτων ρ′ ἢ καὶ ς′, δράγματα δέ εἰσιν ὅσα ὁ θερίζων λαμβάνει ἐν τῇ ἀριστερᾷ χειρί, παρὰ τὸ δράττειν. σφίγγε τ ’ ἀμαλοδέται : ἀπέστρεψε τὸν λόγον πρὸς τοὺς ἑπομένους καὶ τὰ θεριζόμενα συνδεσμοῦντας.

10 44b δράγματα δέ ἐστι τὰ πληροῦντα τῶν σταχύων τὴν ἀριστεράν· ἔνθεν καὶ δραχμή, ἡ πληροῦσα τὴν χεῖρα τῷ κέρματι. ἀμαλοδέτης ὁ τὰς ἀμάλας δεσμῶν ἤγουν τὰ κοινῶς δεμάτια.

10 45a σύκινοι : παρειμένοι, ἀσθενεῖς· τοιοῦτον γὰρ τὸ ξύλον τῆς συκῆς, ἄγονον ὡς ἐντεριώνην ἔχον. σύκινοι ἄνδρες : ἀσθενεῖς, ἀχρεῖοι ὡς καὶ τὸ τῆς συκῆς ξύλον.

10 45c μὴ παριών τις εἴποι · σύκινοι ἄνδρες : σύκινοι οἱ ἀσθενεῖς καὶ ἀχρεῖοι, ὅτι τὸ τῆς συκῆς ξύλον ἀσθενὲς καὶ ἀδύνατον. ὅθεν καὶ συκίνη ἐπικουρία ἡ ἀσθενής. ἀπώλετο χοὖτος ὁ μισθός : ἤγουν, δι’ ὃν νῦν ἐργάζονται.

10 45e 〈 ὁ μισθός : 〉 ὁ δοθησόμενος ὑμῖν. ἁ τομά : φησὶ δεῖν ἀπεστραμμένην τοῦ ἀνέμου κεῖσθαι ὑπὲρ τοῦ μὴ διατινάσσεσθαι καὶ ἐπὶ πλέον αὔξεσθαι· οὕτω γὰρ ἂν λιπαρὸς διαμένοι ὁ καρπός.

10 46/47b ἁ τομά : παρατετηρημένως λέγει τοὺς τὰς ἀμάλας θημονοθετοῦντας οὕτω τιθέναι ὥστε τοὺς στάχυας ἐμπνεῖσθαι ὑπὸ τοῦ ζεφύρου ἢ βορέου· τὸν γὰρ κόκκον ἐνδοτέρω ὄντα οὕτω συμβαίνει πιαίνεσθαι ἐμπνεόμενον. κόρθυος : τοῦ ἐκ τῶν ἀμαλῶν συγκειμένου θημῶνος.

10 46/47c PT τᾶς κόρθυος : τοῦ σωροῦ τοῦ σίτου.

10 46/47d ὅταν γὰρ τὰ δράγματα δεθῇ, τοὺς στάχυας σωρεύουσι πρὸς ἀλλήλους νενευκότας, τὰ δὲ κῶλα αὐτῶν, ἅ τινες αὐλοὺς καλοῦσιν, ἔξω τετραμμένα ἐῶσιν, ὅπως διὰ τῶν αὐλῶν ὁ σῖτος ῥιπιζόμενος UEAGPT συμπίπτῃ τε καὶ ἄβροχος καὶ ἄσηπτος διαμείνῃ. ἢ ζέφυρον : ἡ σύνταξις οὕτως· ἡ τομὴ ὑμῖν τῆς κόρθυος βλεπέτω ἐς βορέαν ἄνεμον ἢ ἐς ζέφυρον. [5]

10 48-51a σῖτον ἀλοιῶντας : ἑτέρα παραίνεσις· δεῖ τοὺς μὲν ἀλοῶντας μεσημβρίας ἀλοᾶν διὰ τὸ ἐπιτήδειον εἶναι τὸν καιρόν· τοὺς δὲ ἀμῶντας ἄρτι λευκαινομένης τῆς ἠοῦς ἄρχεσθαι τοῦ ἀμητοῦ, λήγειν δὲ ἐπισκιαζομένης ἤδη τῆς γῆς KUEAGPT ἐκκλίνοντας τὸ καῦμα, τουτέστι τὸ μέσον τῆς ἡμέρας ἠρεμοῦντας. τὸ μεσημβρινόν : ἀντὶ τοῦ μὴ ἐν μεσημβρίᾳ καθεύδειν ἀλλ’ ἐνεργεῖν. [5]

10 48-51b ἐπιτήδειος γάρ ἐστιν ὁ καιρὸς πρὸς τὸ ἀλοᾶν· φρύγοντος γὰρ τοῦ ἡλίου τὴν καλάμην τὸ ἄχυρον συμβαίνει λεπτότερον γίνεσθαι. οἱ ἐν ἅλωνι συντρίβοντες τὸν σῖτον φεύγουσι τὸν ὕπνον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

10 48-51c L g U g E g καλάμη τὸ κατωτέρω τοῦ στάχυος, ὅσον τε σὺν τῷ στάχυϊ τέμνεται καὶ ὅσον ἐν τῇ γῇ ἄτμητον ἀπολιμπάνεται.

10 48-51d GPT ἄρχεσθαι δ ’ ἀμῶντας : οὐκ ἀσκόπως· ὁ γὰρ κορυδαλλὸς περὶ τὸ λυκόφως ἐξέρχεται εἰς τὰς νομάς, ὅτε καὶ τοῖς θερισταῖς προϊέναι συμβουλεύει.

10 48-51e τότε συμβαίνει τοὺς ἀστάχυας ἀπὸ τῆς δρόσου τηρεῖσθαι. κορυδαλλῶ : ὁ γὰρ κορυδαλλὸς κατὰ τὸ ἀμφίλυκον ἵπταται ἐπὶ τὰς νομάς.

10 48-51g ὁ κορυδαλλὸς καὶ πρῶτος τῶν ὀρνέων εἰς τὰς νομὰς ἔρχεται καὶ τελευταῖος ἐπὶ κοίτην ἔπεισιν. 〈 καὶ λήγειν εὕδοντος : 〉 εὕδοντος τοῦ κορυδαλλοῦ ἀναπαύσασθαι.

10 52/53a εὐκτός : ζηλώσατε, φησίν, ὦ γεωργοί, τὸν τοῦ βατράχου βίον καὶ ἀφθονίαν ἑαυτοῖς καρπῶν περιποιήσασθε, ὅσην ἔχει ἐκεῖνος ἀφθονίαν τῶν ὑδάτων. εὐκτὸς ὁ τῶ βατράχω , παῖδες , βίος : μακάριος.

10 52/53b ἐπισκώπτει δὲ τὸν ἐργοδότην ὡς μὴ παρεχόμενον αὐτάρκη. κάλλιον ὠπιμελητά : πρὸς τὸν Βουκαῖον ταῦτά φησιν ὅτι, ὦ πλούσιε καὶ φιλάργυρε, καλὸν ἂν εἴη συνήθη ἐργάτην σε ὄντα καὶ γεωργὸν φακὸν ἕψειν καὶ τούτῳ τρέφεσθαι, μὴ τρίβειν δὲ κύμινον, ὃ δεῖγμα τρυφῆς ἐστι, μήπως δι’ ἀπειρίαν τὴν χεῖρα πληγῇς. [5]

10 54/55b ὠπιμελητά : ὁ λόγος πρὸς τὸν ἐπιστάτην τῶν θεριστῶν ὀλίγην τροφὴν αὐτοῖς παρεχόμενον. κάλλιον ὦ ’πιμελητά : τὸ ὦ ’πιμελητὰ ἀντὶ τοῦ ὦ ἐργοδότα, ὃν δὴ ἐργοδότην φιλάργυρόν φησι.

10 54/55d καταπρίων τὸ κύμινον : τοῦτο παρ’ ὑπόνοιαν —ἔδει γὰρ εἰπεῖν τὸ κρέας—, καθὸ εἰώθασι τοὺς ἄγαν φειδωλοὺς κυμινοπρίστας λέγειν. ταῦτα χρή : ὁ λόγος ἐκ τοῦ Μίλωνος, τινὲς δέ φασιν ὑπὸ τοῦ Βουκαίου λέγεσθαι τοὺς στίχους.

10 56-58a ἔδει σε, φησίν, ὦ Βουκαῖε, μνημονεύοντα τοῦ θείου Λιτυέρσου ἐπ’ ἔργον τὸν νοῦν ἔχειν καὶ μὴ πρὸς ἔρωτα. K μοχθεῦντας : ἤγουν ἐνδέχεται τοὺς θερίζοντας τοῦ θερισμοῦ φροντίζειν καὶ μὴ τοῦ ἔρωτος.

10 56-58b ὁ λόγος ἐκ τοῦ Μίλωνος, οἱ δὲ καὶ τοῖς ἐπάνω ταῦτα συνάπτουσι. UEAT ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ : τινὲς ἐκ τοῦ Μίλωνος λέγουσιν εἶναι τὸν λόγον ἀπὸ τοῦ ἦ καλὰς ἄμμε ποῶν ἐλελήθει βοῦκος ἀοιδὰς (v.

10 56-58c 38) μέχρι τέλους τοῦ εἰδυλλίου. τινὲς δὲ λέγουσιν, ὅτι ἐκ τοῦ Μίλωνός ἐστιν ὁ λόγος τὸ ἦ καλὰς ἄμμε ποῶν μέχρις ὤμοι τῶ πώγωνο ς , ὃν ἀλιθίως ἀνέφυσα (v. 40)· τὸ δὲ μετὰ ταῦτα, ἤγουν τὸ θᾶσαι δὴ καὶ ταῦτα 〈τὰ〉 τῶ θείω Λυτιέρσα (v. 41), λέγουσι λέγειν τὸν Βάττον μέχρι τοῦ μή τι τάμῃς τὴν χεῖρα καταπρίων τὸ κύμινον (v. 55)· τὸ δὲ ἑξῆς ὡς ἀπὸ τοῦ Μίλωνος, ἤγουν τὸ ταῦτα χρὴ μοχθεῦντας καὶ τοὺς μετὰ ταῦτα δύο στίχους. φιλέργῳ, φησίν, ἀνδρὶ ταῦτα πρεπωδέστατον λέγειν. [10]

10 56-58d τὸν δὲ σὸν ἔρωτα, ὦ Βουκαῖε, διηγοῦ σῇ μητρὶ ἐν τῷ θαλάμῳ ἀντ’ ἄλλου σπουδαίου. K λιμηρὸν ἔρωτα : πτωχόν.

10 56-58e περὶ τοῦ ἔρωτός σου, ὦ Βουκαῖε, καθῆκόν ἐστι τῇ μητρί σου λέγειν ἐν κοίτῃ κατὰ τὸν KGPT ὄρθρον κειμένῃ ἢ ἀνισταμένῃ ὄρθρου, μὴ νῦν ἐμοί. Κύκλωψ [Ἐκ παιγνίων λάμβανε διδασκαλίαν λόγον στορεστὴν τυγχάνειν παθημάτων.

11 t ] Ὑπόκειται Πολύφημος ὁ Κύκλωψ ἐρῶν τῆς Γαλατείας καὶ παρηγορῶν τὸν ἐπὶ τῇ Γαλατείᾳ ἔρωτα δι’ ᾠδῆς.

11 arg b προσδιαλέγεται δὲ ὁ Θεόκριτος Νικίᾳ τινὶ ἰατρῷ Μιλησίῳ τὸ γένος, οὗ καὶ ποιημάτιον φέρεται ἀντιγεγραμμένον [ὑπὸ] πρὸς Θεοκρίτου Κύκλωπα, οὗ ἡ ἀρχή· ‘ἦν ἄρ’ ἀληθὲς τοῦτο, Θεόκριτε· οἱ γὰρ Ἔρωτες ποιητὰς πολλοὺς ἐδίδαξαν τὸ πρὶν ἀμούσους.

11 arg c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

‘ ἔγραψε δὲ καὶ ἐπιγράμματα ὁ αὐτός. γέγονε δὲ συμφοιτητὴς Ἐρασιστράτου τοῦ Ἰουλιήτου, ὥς φησι Διονύσιος ὁ Ἐφέσιος ἐν τῇ τῶν ἰατρῶν ἀναγραφῇ. ὑπόκειται ὁ Κύκλωψ παρηγορῶν ἑαυτοῦ τὸν ἐπὶ τῇ Γαλατείᾳ ἔρωτα δι’ ᾠδῆς.

11 arg d προσδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ Μιλησίῳ τὸ γένος, ὃς συμφοιτητὴς γέγονεν Ἐρασιστράτου ἰατροῦ ὄντος καὶ αὐτοῦ. μέμνηται δὲ τοῦ Νικίου καὶ ἀλλαχοῦ (XIII 2; XXVIII) ὁ Θεόκριτος. οὐδὲν ποττὸν ἔρωτα : οὐκ ἔστι 〈πρὸς〉 τὰ τοῦ ἔρωτος ἄλγη οὔτε ἔγχριστον φάρμακον οὔτε ἐπίπαστον εἰ μὴ αἱ Μοῦσαι.

11 1-3a ταύταις καὶ ὁ Κύκλωψ τὸν εἰς τὴν Γαλάτειαν ἔρωτα παρηγόρει. K οὐδὲν ἔρωτός μοι δοκεῖ φάρμακον πεφυκέναι εἰ μὴ ἡ παιδεία καὶ αἱ Μοῦσαι.

11 1-3b ταύταις γὰρ ὁ Κύκλωψ πρὸς διαγωγὴν τοῦ ἔρωτος τῆς Γαλατείας ἐχρῆτο. καὶ Φιλόξενος (fgm. 7 Bergk Poet. lyr. gr. III 4 611) τὸν Κύκλωπα ποιεῖ παραμυLrUEAGPT θούμενον ἑαυτὸν ἐπὶ τῷ τῆς Γαλατείας ἔρωτι καὶ ἐντελλόμενον τοῖς δελφῖσιν, ὅπως ἀπαγγείλωσιν αὐτῇ, ὅτι ταῖς Μούσαις τὸν ἔρωτα ἀκεῖται. καὶ Καλλίμαχος (Epigr. 46, 1. 3 = Anth. Pal. XII 150, 1. 3)· ‘ὡς ἀγαθὸς Πολύφαμος ἀνεύρατο τὰν ἀοιδάν, αἱ Μοῦσαι τὸν ἔρωτα κατίσχανον.‘ τὸ διὰ μούσης καὶ ᾠδῶν ἄγειν τὸν ἔρωτα κοῦφόν τέ ἐστι καὶ ἡδύ· τὸ δὲ περιγενέσθαι σοφίας οὐ ῥᾴδιον.

11 3/4a LrU r EAP κοῦφον δέ τι : τὸ κατὰ φιλοσοφίαν ἐρᾶν κουφότητα παρέχει τῷ πάθει.

11 3/4c ἤγουν· 〈οὐ〉 συντόμως γίνεται ἡ σοφία καὶ [σύντομον] τὸ μουσικὸν εἶναί τινα. εὑρεῖν δ ’ οὐ ῥᾴδιον : τὴν σοφίαν λέγει, ὅτι οὐκ KUEAGPT ἔστιν εὐχερὲς περιγενέσθαι παιδείας.

11 3/4e εὔκολόν ἐστι, φησί, τὸ δι’ ᾠδῆς θεραπεῦσαι τὸν ἔρωτα· εὑρεῖν 〈δέ〉 τινα ἔχοντα μοῦσαν καὶ ᾠδήν, ἤγουν σοφίαν, 〈οὐ〉 ῥᾴδιον. χωρὶς παιδείας οὐ κατορθοῦται.

11 7a οὕτω γοῦν ῥάϊστα : τοῦτον, φησί, τὸν τρόπον καὶ ὁ παρ’ ἡμῖν Κύκλωψ καθ’ ἑαυτὸν ᾄδων ἐπεκουφίζετο πολὺ τοῦ ἔρωτος τῆς Γαλατείας. οὕτω γοῦν ῥάϊστα : ῥᾷον γὰρ διῆγε καὶ ὁ παρ’ ἡμῖν Κύκλωψ διὰ τῶν ᾠδῶν.

11 7b τὸ δὲ πα ρ ’ ἡμῖν ἐπὶ τῆς Σικελίας φέρει, καθὸ καὶ Συρακούσιός ἐστι. δοκεῖ δέ τισιν, ὅτι καὶ ἡ πλάνη τοῦ Ὀδυσσέως περὶ Σικελίαν που γέγονε. 〈 διᾶ γ’ : 〉 ἔφερε καὶ ὑπέμεινε.

11 10/11a ἤρατο δ ’ οὐ μάλοις : οὐκ ἤρατο ὥστε μῆλα διδόναι ἢ ῥόδα ἢ ἕτερόν τι εἰς τὸ καλλωπίζειν, ἀλλὰ μανίαις εἰς ἔκστασιν φερούσαις. ἤρατο δ ’ οὐ μάλοις : ἠράσθη δὲ οὐκ ἐλαφρῶς καὶ [τῶν] κατὰ μέρος αὐτῆς, 〈οὔτε κικίννων〉 οὔτε ῥόδων οὔτε μήλων· μήλων μὲν τῶν ἐπὶ τῆς ὄψεως, ῥόδων δὲ τῆς γυναικείας ἥβης, ὅτι τὸ γυναικεῖον μόριον καὶ ῥόδον καὶ ῥοδωνιάν φασιν, ὡς Κρατῖνος ἐν Νεμέσει (fgm.

11 10/11b 109 Kock Com. att. fgm. I 48 )· ‘ὥς γ’ ἐσθίων τοῖς σιτίοισιν ἥδομαι, ἅπαντα δ’ εἶναί 〈μοι〉 δοκεῖ ῥοδωνιά καὶ μῆλα καὶ σέλινα καὶ σισύμβρια‘· κικίννων δὲ τῆς κόμης, ὡς καὶ ὁ κωμικός (Ar.

11 10/11d fgm. 218 ib. I 447 )· ‘λεῖος ὥσπερ ἔγχελυς χρυσοῦς ἔχων κικίννουσ‘. KUEA ἀλ λ ’ ὀρθαῖς : ὀρθὸν πρᾶγμα τὸ ἀληθές φησι· γενικῶς.

11 10/11e ὡς γὰρ ἠράσθη εἰς ἄκρον μανίας ἐληλακώς, οὐ κατὰ μέρος, φησίν, ἤρατο 〈τῶν〉 περὶ τὸ πρόσωπον καλῶν μήλων, ἀλλ’ οὐδὲ τοῦ ῥόδου· οὕτω γὰρ καλεῖται τὸ μόριον τῆς γυναικός. ἀλ λ ’ ὀλοαῖς μανίαις : ἤγουν εἰς ἄκρον μανίας [ἐνόμιζε], τουτέστι γενικῶς ἐπεμάνη αὐτῆς.

11 10/11f ἢ 〈 ὀρθαῖς : 〉 τεταμέναις ἰσχυραῖς. L g U g E g GP m αὐταί : ἀντὶ τοῦ μόναι.

11 12 Ὅμηρος (Θ 99)· ‘Τυδείδης δ’ αὐτός περ ἐών‘ ἀντὶ τοῦ αὐτόματος καὶ μόνος. Καλλίμαχος (H. Apoll. 6)· ‘αὐτοὶ νῦν κατοχῆες ἀνακλίνασθε θυράων.‘ K αὐτοῦ : αὐτόθεν ἐκ τοῦ αἰγιαλοῦ καταλειπόμενος καὶ τὴν Γαλάτειαν ἀείδων κατετήκετο μὲν τῷ ἔρωτι, παρεμυθεῖτο δὲ τῇ ᾠδῇ.

11 17

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〈 φάρμακον : 〉 τὴν διὰ τῆς ᾠδῆς παραμυθίαν λέγει. L g U g E g P m πακτᾶς : ἤγουν τυροῦ πεπηγότος· ὃ οἱ Ἀττικοὶ τροφαλίδα καλοῦσι.

11 21a μόσχω γαυροτέρα : γαυροτέρα τοῦ μόσχου, ἢ L g U g E g GP m σκιρτῶσα καὶ ἀγαλλομένη πλέον μόσχου ἢ λαγνοτέρα τούτου. φιαρωτέρα : λαμπροτέρα, καθαρωτέρα· φιαρὸν γὰρ τὸ λαμπρόν.

11 21c φιαρωτέρα —γράφεται σφριγανωτέρα— 〈ὄμφακος ὠμᾶσ 〉 , ὅ ἐστι νέας παρθένου· ὄμφαξι γὰρ ἀπεικάζουσι τὴν ὥραν. φιαρωτέρα ὄμφακος ὠμῆς : φιαρὸν τὸ εὐσθενές· ἤγουν λαμπροτέρα ἢ στρυφνοτέρα.

11 24 λύκον πολιὸν ἀντὶ τοῦ λευκόν. οἱ γὰρ λύκοι αἰθαλώδεις τὴν χροιάν· ἐπεὶ οὖν ἐκ μέλανος καὶ λευκοῦ εἰσι τὰ τοιαῦτα, εἶπε καταχρηστικῶς τοὺς λύκους λευκούς. ἢ πολιοὺς ἀντὶ τοῦ παλαιούς. οὐ δ ’ ἔτι πα νῦν : οὐ δύναμαι παύσασθαι ἐξ ἐκείνου τοῦ χρόνου, καθ’ ὃν εἶδόν σε, οὔτε μετὰ τοῦτο οὔτε μέχρι τοῦ νῦν.

11 31 ὀφρῦς : παρὰ τὸ τοὺς ὦπας φυλάττειν καὶ ῥύεσθαι, ὠπορύς τις οὖσα. οὐ χειμῶνος ἄκρῳ : ἤγουν ἐν τῷ μεσαιτάτῳ τοῦ χειμῶνος, ὥστε ἄκρον ἐνταῦθα ἡ ἀκμὴ τοῦ χειμῶνος.

11 37 ἢ ἄκρον λέγει τὸ τέλος μὲν τοῦ φθινοπώρου, ἀρχὴν δὲ τοῦ χειμῶνος. τὶν τὸ φίλον γλυκύμαλον : αὐτὴν λέγει τὴν Γαλάτειαν τὴν προσφιλῆ ἑαυτῷ μῆλον χαριέστατον.

11 38/39a ὁ δὲ νοῦς· συρίζω δὲ ὡς οὐδεὶς τῶν Κυκλώπων ὁμοῦ σέ τε, ὦ Γαλάτεια, τὸ χαριέστατον ἐμοὶ μῆλον, καὶ ἐμαυτὸν ᾄδων. γλυκύμαλον : ναί, φησίν, οὕτω συρίζειν ἐπίσταμαι ὡς οὐδεὶς τῶν Κυκλώπων, ὑμνῶν σὲ τὸ προσφιλέστατόν μοι γλυκύμαλον, ἤγουν τὸ γλυκὺ μῆλον.

11 38/39b UEAGPT γλυκύμηλον δὲ ὡς μελίμηλον· ἔστι γάρ τι μήλου γένος.

11 38/39c Σαπφώ (fgm. 93 Bergk Poet. lyr. gr. III 4 120 )· ‘γλυκύμαλον ἐρεύθεται ἄκρω ἐπ’ ὄσδω.‘ KUEAGPT πάσας ἀμνοφόρως : γράφεται καὶ μαννοφόρου ς .

11 41a μάννος δέ ἐστιν ὁ περιτραχήλιος κόσμος· μανιάκια ἐχούσας, τουτέστι χρυσᾶ περιτραχήλια. K ἀμνοφόρως : ἀμνίδας καὶ βρέφη φερούσας.

11 41b ἢ μαννοφόρου ς . μάννος δέ ἐστιν ὁ περιτραχήλιος κόσμος, τὸ λεγόμενον μανιάκιον. σκυμνοὺς ὀξυτόνως ἐπὶ ἄρκτων, βαρυτόνως δὲ ἐπὶ λεόντων.

11 41c K καὶ σκυμνὼς τέσσαρας : σκυμνοὺς τῇ τάσει ὡς μωρούς, ὅταν ἐπὶ ἄρκτων ὡς νῦν· ἐπὶ δὲ τῶν λεόντων σκύμνοι κυρίως λέγονται ὡς φίλοι.

11 41d UEAGP ἀφίκευσο : οὕτω Συρακούσιοι τὴν σο πλεονάζουσι συλλαβήν, ᾗπερ κάθουσο στεφάνουσο ἀντὶ τοῦ κάθου στεφάνου.

11 42a K ἑξεῖς : γράφεται ἑξῆ ς , ἤτοι· εἰς τὸ μέλλον οὐδὲν χεῖρον ἡμῖν γενήσεται.

11 42b L g U g E g GP m τὴν λευκὰν δέ : τὴν θάλασσαν προσρήγνυσθαι τῇ γῇ.

11 43 τὸ δὲ ὀρεχθεῖν παρὰ τὸ 〈ὀρέγεσθαι ἤγουν〉 ἐκτείνεσθαι· Ὅμηρος (Z 466)· ‘παιδὸς ὀρέξατο‘. γράφεται ἐρεχθεῖ ν . K ῥαδιναί : λεπταὶ καὶ εὔφθαρτοι παρὰ τὸ ῥαίειν· Ὅμηρος (ε 221)· ‘εἰ δ’ αὖ τις ῥαίῃσι θεῶν‘.

11 45 ἢ 〈ῥαδινὸν τὸ〉 εὐάγωγον διὰ τὸ ἐν ἁπαλότητι 〈ῥᾷον δινεῖσθαι ἤγουν〉 εὔστρεπτον 〈εἶναι〉 . ἔστι μέλας : οὐκ ἀσκόπως· παραδίδωσι γὰρ ὁ Κρατεύας καὶ ἄλλο νλευκόν, οὗ τὸν καρπὸν πινόμενον πρὸς παιδοποιΐαν φησὶ συντελεῖν.

11 46 τινὲς δέ φασι τρίψαντα τὸν καρπὸν οὕτω διδόναι πιεῖν. τίς ἀντὶ τούτων κύματα καὶ θάλασσαν θέλει ἑλέσθαι.

11 52 ὑπὸ τεῦς : ὡς ὑπὸ τοῦ ἔρωτος τὴν ψυχὴν ἔφη καίεσθαι. ὤμοι ὅτι : ὁ νοῦς οὗτος· φεῦ, ὅτι μὴ ἐτέχθην καὶ ἔφυν ἰχθύς, ὡς ἂν διαδὺς κατεφίλησά σε· καὶ τὴν χεῖρα ἐφίλησα ἄν, εἰ μὴ τὸ στόμα ἤθελες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 57a μήκω ν' : λέγεται 〈καὶ〉 ἡ κεφαλὴ μήκων καὶ ἡ ἀνθοφόρος βοτάνη. [ ἢ μάκω ν ' ἁπαλά ν ] 〈πλαταγώνια : 〉 τῆς μήκωνος τὰ φύλλα, ἢ παρὰ τὴν πλατύτητα ἢ παρὰ τὸ πλαταγεῖν, ὅ ἐστι κτυπεῖν· 'χερσί τε συμπλατάγησεν, ἔπος δ' ὀλοφυδνὸν ἔειπε (Ψ 102).

11 57b ' παρατιθέντες γὰρ τῷ ἀντίχειρι οὕτω τὰς τῶν ἐρωμένων ἐτεκμαίροντο ἐκ τοῦ ψόφου φιλίας. πλαταγώνια : τὰ τῆς μήκωνος καὶ τὰ τῆς ἀνεμώνης φύλλα ἀπὸ τοῦ πλατάσσειν, ὅ ἐστι ψοφεῖν.

11 57c τιθέντες γὰρ αὐτὰ κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον καὶ τύπτοντες τῇ ἑτέρᾳ χειρί, ὥστε ψοφεῖν, οὕτω σημειοῦνται, εἰ ἀγαπῶνται ὑπὸ τῶν ἑταίρων, ἀποπειρώμενοι τοῦ τῆς πλαταγῶνος ψόφου, εἰ εὐψόφως ἐπικρουσθείη. ἀλλὰ τὰ μέν : ἐν θέρει τὰ κρίνα, ἐν χειμῶνι αἱ μήκωνες καὶ τὰ πλαταγώνια αὐτῶν, ὥστε οὐκ ἔστιν εὑρεῖν τὰ δύο κατὰ τὴν αὐτὴν ὥραν.

11 58/59 KU r EAT νεῖν : νήχεσθαι, κολυμβᾶν.

11 60/61 ἐάν τις ἐνθάδε πλέων ἔλθῃ ξένος, κολυμβᾶν μαθήσομαι. KUEAPT ἐξένθοις Γαλάτεια : τοῦτό φησιν· εἴη ἂν πείθειν 〈σε〉 , ὦ Γαλάτεια, ἐξελθοῦσαν ἐπιλαθέσθαι μὲν τῆς θαλάσσης, ἔρωτι δὲ τῷ πρὸς ἐμὲ παρακαθέζεσθαί μοι, ὥσπερ ἐγώ σοι.

11 63/64b 〈 λάθοιο : 〉 ἐπιλάθοις εἰσελθεῖν εἰς τὴν θάλασσαν. L g U g ἁ μάτηρ : ἡ Θόωσα.

11 67/68a Ὅμηρος (α 71)· 'Θόωσα δέ μιν τέκε μήτηρ.' KL g U g E g 〈 ἀδικεῖ με : 〉 ὅτι προσελθοῦσα οὐδέποτε χρήσιμόν τι περὶ ἐμοῦ διείλεκται.

11 67/68b K ἁ μάτηρ ἀδικεῖ με : ὅτι οὐ μαστροπεύει μοι.

11 67/68c αὕτη ἂν εἴη Φόρκυνος θυγάτηρ ἡ Θόωσα, καθώς φησιν ὁ ποιηUEAGPT τής (α 71 sq.). φλασῶ : προσποιήσομαι, φησί, κεφαλαλγεῖν, ὡς ἂν λυπηθῇ καὶ αὐτὴ ἡ Γαλάτεια.

11 70/71b φασῶ τὰν κεφαλάν : προφασισθῶ καὶ πρόφασιν ποιήσομαι, φησί, κεφαλαλγεῖν· οὐ γὰρ τοῦ ἔρωτός μου ἡ μήτηρ φροντίζει. ὦ Κύκλωψ : ὥσπερ συστραφεὶς καὶ ἀναστρέψας τὴν ψυχὴν ἀπὸ τῆς ἐκστάσεως πρὸς ἑαυτὸν διαλέγεται· ποῦ τὰς φρένας, ὦ Κύκλωψ, ἐκπεπετασμένας ἔχων μετέωρος εἶ; ἐὰν ἀπελθὼν ἐπ' ἐργασίαν τραπῇς καὶ τυροβόλους πλέκῃς καὶ τοῖς θρέμμασι τροφὴν συνάξῃς, πολὺ μᾶλλον εἶναι δόξεις νουνεχέστερος.

11 72-74b 〈 τὰς φρένας ἐκπεπότασαι : 〉 τῶν φρενῶν ἀπέπτης. 〈 μᾶλλον ἔχοις νοῦν : 〉 εἰς φρόνησιν πλείονα ἔλθοις.

11 75a τὰν παρεοῦσαν : ὁ νοῦς· τί πρὸς ἀμηχανίαν τρέπῃ; Ἡσίοδος (fgm. 219 Rzach, ed. a. 1902, 400)· 'νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν [τὰ] ἀνέτοιμα διώκει'. ἡ παροιμία· 'τὸν θέλοντα βοῦν ἔλαυνε.' τὰν παρεοῖσαν ἄμελγε : κατὰ τὴν παροιμίαν· 'τὸν θέλοντα βοῦν ἔλαυνε', ἤγουν τὴν ἀγαπῶσαν φίλει.

11 78a κιχλίζοντι : σφόδρα γελῶσι καὶ διαχέονται. τῶν δὲ κατὰ μίμησιν ἡ φωνὴ τοῦ κατ' ἀρχὰς χ τραπέντος εἰς κ . [ πολλαὶ συμπαίσδεν μ ε ] 〈κιχλίζοντι : 〉 γελῶσι δὲ πᾶσαι, ἐπὰν ἀκούσωμαι αὐτῶν.

11 78b ἴσως δὲ καταγελῶσιν αὐτοῦ. κἠγών : δῆλον ὅτι οὐκ ἀηδής εἰμι, ὅπου γε καὶ κόραι με φιλοῦσιν.

11 79a K 〈 κἠγών τις φαίνομαι εἶναι : 〉 ἤγουν τῶν ἐπισήμων εἰμὶ καὶ ὀνομαστῶν.

11 80a οὕτω τοι Πολύφαμος : ὁ λόγος πρὸς τὸν Νικίαν. ἀστείως δὲ τὸ ἐποίμανεν ἐπὶ τοῦ ποιμένος ἀντὶ τοῦ μετεχειρίζετο. K οὕτω τοι Πολύφαμος : πρὸς Νικίαν ὁ λόγος ἐκ τοῦ ποιητοῦ, ἤγουν· οὕτως ὁ Πολύφημος, φησί, μετεχειρίζετο τὸν ἔρωτα.

11 80b UEAGPT μουσίσδων : τῇ σοφίᾳ τῶν Μουσῶν ᾄδων.

11 81a UEAGP ῥᾷον δὲ διᾶγεν : ῥᾷον δὲ διῆγεν ᾄδων ἢ εἰ χρυσίον εἶχε δοῦναι, ὅπως πείσῃ τὴν Γαλάτειαν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

11 81b KUEAGPT χρυσὸν ἔδωκεν : ἀντὶ τοῦ εἶχε δοῦναι τῇ Γαλατείᾳ εἰς τὸ πεῖσαι.

11 81c E g A Ἀΐτης Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Ἀΐτης, γέγραπται δὲ Ἰάδι διαλέκτῳ.

12 arg a ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου πρὸς KLUEAGPT ἐρώμενον· ὅθεν καὶ τὸ ἐπίγραμμα Ἀΐτης, ἐπειδὴ τοὺς ἐρωμένους ἀΐτας ἔνιοι καλοῦσιν ὡς 〈οἱ〉 Θεσσαλοί. καὶ γὰρ Ἀλκμὰν (fgm. 125 Bergk Poet. lyr. gr. III 4 73) τὰς ἐπεράστους κόρας λέγει ἀΐτιας· οἱ δὲ ἀΐτας τοὺς ἑταίρους· φασὶ δέ τινες λέγεσθαι τοὺς ἀγαθούς, οἷον μὴ ἴτας ἀντὶ τοῦ μὴ ἰταμούς· ἢ ἀΐτης ὁ συναΐτης καὶ σύμπνους. εἰ δὲ ἐπὶ ἐρωμένου τάσσοιτο, ἀΐτης ἂν λέγοιτο ἀπὸ τοῦ εἰσάειν καὶ εἰσπνεῖν τὸν ἔρωτα τῷ ἀγαπῶντι. ἐκτίθεται δὲ πῶς ὁ ἐρῶν 〈...〉 καὶ οὐ φείδεται θεασάμενος τοὺς τοῦ ἐρωμένου χαρακτῆρας, εὔχεται δὲ τῶν δύο ψυχῶν ἁρμογὴν αὐτοῖς γενέσθαι καὶ φιλίας ἀσφάλειαν μέχρι τέλους παραμένουσαν, ἵνα καὶ μετὰ θάνατον οἱ μεθ' ἡμᾶς φημίσωσι τὴν ἐν ἀμφοτέροις ὁμοόνοιαν, λέγοντες ἡμᾶς ἐκ τοῦ χρυσοῦ γένους πεφυκέναι τοὺς δύο, οἵτινες ἀμοιβὴν φιλίας ἔπνευσαν πρὸς ἀλλήλους. καὶ τοὺς Μεγαρεῖς ἐπαινεῖ ἐπὶ τῷ τετιμηκέναι Διοκλέα ἐμπεσόντος πολέμου ὑπερασπίσαντα τοῦ ἰδίου ἐρωμένου καὶ ὑπὲρ [τῆς] ἐκείνου τελευτήσαντα· ὅθεν τοὺς Μεγαρεῖς θάψαι αὐτὸν δημοσίᾳ καὶ τιμᾶν ὡς ἥρωα ἀγῶνά τε ἐπ' αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλήματος ἀγωνίζεσθαι, τὸν δὲ καταφιλήσαντα αὐτῶν ἥδιστα τοῦτον ὑπὸ τοῦ κριτοῦ στεφανοῦσθαι. Ἐρατοσθένης ἀΐτην τὸν ἑταῖρόν φησιν, Ἀλκμὰν (v.

12 arg b supra) δὲ τὰς ἐπεράστους κόρας ἀΐτιάς φησιν. LUEAT ἠοῖ ἤλυθες : ἐν τῇ τρίτῃ ἡμέρᾳ, ἀφ' οὗ οὐκ εἶδόν σε.

12 1a καὶ συντάσσεται οὕτως· ὦ φίλε κοῦρε, σὺν νυκτὶ τρίτῃ καὶ ἀοῖ ἤλυθες. UEAGPT ἤλυθε ς , ὦ φίλε κοῦρ ε , σὺν νυκτὶ τρίτῃ καὶ ἀοῖ τρίτῃ, ἤγουν μετὰ τρεῖς ἡμέρας καὶ νύκτας.

12 2a οἱ δὲ ποθεῦντες : οἱ δὲ ἐρῶντες, εἰ μίαν ἀπολειφθῇ ὁ ἐρώμενος ἡμέραν, τὸν πάντα αἰῶνα τῆς αὐτοῦ παρουσίας ἐστερῆσθαι νομίζουσι καὶ ὥσπερ καταγεγηρακέναι. οἱ δὲ ποθεῦντες : οἱ ἐρῶντες ἐν μιᾷ ἡμέρᾳ ἀποδυρόμενοι γηρῶσιν.

12 2c ἔστι δὲ παρὰ τὸ Ὁμηρικόν (τ 360)· ‘αἶψα γὰρ ἐν KUEAGPT κακότητι βροτοὶ καταγηράσκουσιν.‘ τόσσον ἔ μ ' εὔφρανας : πρὸς τὴν ὑπερβολὴν τῆς διαφορᾶς ἀπέδωκεν.

12 8/9a ἔστι γὰρ τοιοῦτον· ὅσον τόδε διαφέρει, τοσοῦτον καὶ σὺ φανεὶς ἐμὲ ηὔφρανας, ὥστε καλλίων εἶ παρὼν ἢ ἀπών. τόσσον ἔ μ ' εὔφρανας : ἡ σύγκρισις κακή.

12 8/9b ὤφειλε γὰρ εἰπεῖν· ὅσον ἔαρ χειμῶνος διαφέρει, τοσοῦτον εἶ καὶ σὺ γλυκύτερος. σκιερὰν ὑπὸ φαγόν : ἐπαινέσειεν ἄν τις ἐκ τῆς παραβολῆς τὸν ποιητήν· παραβάλλει γὰρ τῷ μὲν πόθῳ τὸ καῦμα, τὴν δὲ παρουσίαν τοῦ ἐρωμένου φηγῷ κατασκιαζούσῃ.

12 8/9d σκιερὰν δ ' ὑπὸ φαγόν : ὡς ἄν τις, φησί, φλεγόμενος ὑπὸ τοῦ ἡλίου εἰς σκιὰν φηγοῦ παρέλθῃ, οὕτω κἀγώ σοι προσανεπαυσάμην ἀσμένως. εἴ θ ' ὁμαλοί : ὁ νοῦς· εἴη ἡμᾶς ἐξ ἴσου φιλεῖν, ὅπως ἂν καὶ τοῖς μετὰ ταῦτα ἀνθρώποις ὑμνηθῶμεν.

12 10/11b εἴ θ ' ὁμαλοί : εἴθε, φησίν, ἐνεχώρει ὅμοιον γενέσθαι τὸν εἰς ἀλλήλους ἡμῶν ἔρωτα, ἵνα καὶ ἐπὶ τῶν μεταγενεστέρων περιβόητος ἡμῶν ἡ φιλία ᾖ. 〈 ἐ π ' ἀμφοτέροισιν Ἔρωτες : 〉 ἤτοι 〈ἡ〉 κατὰ τοὺς ἀμφοτέρους φιλία.

12 10/11d ἐ π ' ἐσσομένοις δέ : ἐπὶ πᾶσι δὲ τοῖς ἐσομένοις καὶ μέλλουσιν ἔσεσθαι, ἤτοι τοῖς μεταγενεστέροις, γενοίμεθα ἀοιδή, ἤτοι ἄκουσμα. δοιὼ δή τινε : τοῦτο ὡς πρὸς τοὺς προγενεστέρους· ἵνα οἱ μεταγενέστεροι τῆς φιλίας ἡμῶν μνησθέντες λέγωσιν ὅτι δύο πρὸ ἡμῶν ἐγένοντο ἄνθρωποι, ἕτερος μὲν ὑπὸ Λακώνων λεγόμενος εἴσπνηλος, τουτέστιν ἐραστής, ἕτερος δὲ ὑπὸ Θεσσαλῶν ἀΐτας, τουτέστιν ἐρώμενος· οὗτοι δ' ἀλλήλους ἐξ ἴσου ἐφίλησαν τοῦ χρυσοῦ γένους ὡς ἔοικεν ὄντες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

12 12-16b εἴσπνηλος : παρὰ Λάκωσιν. εἴρηται δὲ παρὰ τὸ εἰσάειν καὶ εἰσπνεῖν τοῖς ἀγαπῶσι τὸν ἔρωτα. ὁ νοῦς· δύο δή τινες ἄνδρες ἐπ' ἴσης ἀλλήλους ἐφίλησαν, ὁ μὲν εἴσπνηλος, τουτέστιν ἐραστής, ὡς Λακωνίζων εἴποι 〈ἂν〉 ἀνήρ, ὁ δὲ ἀΐτης, τουτΚ έστιν ἐρώμενος, ὡς πάλιν φαίη ἂν ἀνὴρ Θεσσαλός. εἴσπνηλος ἀπὸ τοῦ εἰσπνεῖσθαι.

12 12-16c UEPT Ἀμυκλαΐσδων : ὁ τῇ Ἀμυκλαίων χρώμενος διαλέκτῳ ἀντὶ τοῦ Λακώνων.

12 12-16d οὗτοι γάρ φασιν ἐμπνεῖν τὸ ἐρᾶν, Ἀμύκλαι δὲ πόλις Λακωνική. KUEAPT Ἀμυκλαΐσδων δέ φησι κατὰ μετάθεσιν τοῦα · Ἀμυκλιάζων.

12 12-16[e] UEAPT ἴσῳ ζυγῷ : ἀντὶ τοῦ ὁμοίως.

12 12-16f ἀπὸ δὲ τοῦ ζυγοῦ μετήνεκται, ὅτι ἴσον ἐστὶ καὶ μὴ ἑτερορρεπές, ὥστε μὴ γεγονέναι ἑτέρου ῥοπήν τινα ὑπὸ τοῦ σταθμοῦ. 〈 τοῦτο : 〉 τὸ φημίζεσθαι ἡμᾶς τοῖς μεταγενεστέροις.

12 17-21b ἀθάνατοι : εἴη τινά, ὦ ἀθάνατοι, μετάθεσιν εἰς τὰ ἔτη εἰς Ἅιδου κατιόντα ἀπαγγεῖλαί μοι, ὅτι ἡ σὴ διάθεσις καὶ τοῦ ἐρωμένου παρὰ πᾶσιν ἀνθρώποις θρυλλεῖται. βούλεται δὲ λέγειν, ὅτι εἴη τὴν διάθεσιν ἡμῶν συμπαρατείνεσθαι τῷ παντὶ Κ αἰῶνι. ἀθάνατοι : προσληπτέον τὸ ὦ ἔξωθεν ἐπὶ κλητικῆς, ἵν' ᾖ· εἰ γὰρ τοῦτο ὦ Κρονίδα Ζεῦ γένοιτο, εἰ ὦ ἀγήρῳ ἀθάνατοι, ἤγουν ὦ Ζεῦ καὶ ὦ ἕτεροι θεοὶ μὴ γηράσκοντες καὶ ἀθάνατοι.

12 17-21d εἰ γὰρ ἀγήρῳ ἀθάνατοι : νοητέον ἔξωθεν ἡμεῖς. τοῦτο δὲ οὐχ ὡς θεοὺς αὐτοὺς εἶναί φησιν, ἀλλ' ὡς καὶ τοῖς μεταγενεστέροις διὰ μνήμης εἶναι καὶ ᾄδεσθαι καὶ μὴ ἐπιλησθῆναι. εἰ γὰρ ἀγήρῳ ἡμεῖς, ὦ ἀθάνατοι, ἤγουν διὰ μνήμης ὑπάρχοιμεν.

12 17-21f ἀνέξοδον : παρόσον οὐκ ἔστιν ἐπανελθεῖν εἰς φῶς τοὺς ἐν Ἅιδου. ἐγὼ δέ σε : ἐγὼ δέ σε ἐγκωμιάζων—λέγει δὲ πρὸς τὸν ἐρώμενον—[ὅτι] οὐδὲν ψεύσομαι περὶ σοῦ οὐδὲ ἐπάνω τῆς ῥινὸς ψεῦσμα γεννήσω· εἰώθασι γὰρ ἔνιοι τὰ ἐπάνω τῆς ῥινὸς κείμενα καὶ φυόμενα ψυδράκια καλεῖν ψεύσματα, καὶ εἶναι ταῦτα τῆς περὶ τὸν ἔχοντα ἄνθρωπον αὐτὰ ψευδολογίας σημεῖον.

12 23/24b ψεύδεα : τοὺς ἐπὶ τῆς ῥινὸς φυομένους ἰόνθους Σικελιῶται ψεύσματα ἔλεγον 〈ὡσ〉 τοὺς ψεύστας διελέγχοντας· τούτους δὲ φύεσθαι τοῖς φιλοψεύσταις τῶν ἀνθρώπων. ἴονθος δέ ἐστιν ὁ παραγινόμενος κατὰ τὸ ἄνθος τῆς ἡλικίας· 〈ἢ〉 εἴρηται [δὲ] παρὰ τὸ ὄνθος οἷον μολυσμός τις τῆς ὄψεως· οἱ δὲ ὄνοθος, ὃν διὰ φαυλότητα ὀνόσαιτό τις. 〈 ψεύδεα ῥινός : 〉 φύσκαι ἐπὶ τῆς ῥινὸς λεπταὶ αἱ λεγόμεναι ἴονθοι ὡς κατὰ τὸ ἄνθος τῆς ἡλικίας γινόμεναι, ἃς ψυδράκια ἐκάλουν· καὶ οἱ Σικελιῶται τὸν ταῦτα ἐκφύσαντα ψευδηγόρον ἐσημαίνοντο εἶναι.

12 23/24c ἴονθος δὲ λέγεται παρὰ τὸ ὄνθος οἱονεὶ μολυσμός τις τῆς ὄψεως. ἢν γὰρ καί τι δάκῃς : ἐὰν γὰρ καὶ δηκτικόν τι καὶ λυπηρὸν δράσῃς, ὡς καὶ ὁ λόγος 'ὁ τρώσας ἰάσεται'.

12 25 UEAGPT ἔχων δ ' ἐπίμετρον : ὑπὲρ τὸ μέτρον, τῷ ἐπιμετρηθέντι περίσσευμα.

12 26a θέλει δὲ λέγειν ὅτι διπλάσιον τῆς λύπης ὠφέλησας. οἱ δὲ μεταφορικῶς ἀπὸ τῶν ἀλεύρων. 〈 διπλάσιον : 〉 περισσοτέραν ὠφέλειαν.

12 26b L g U g E g Νισαῖοι Μεγαρῆες : τοὺς πλησίον τῆς Ἀττικῆς Μεγαρέας Νισαίους καλεῖ.

12 27-33a ἐπίνειον γὰρ Μεγαρέων ἡ Νίσαια, ἀφ' οὗ Νισαῖοι καλοῦνται οἱ Μεγαρεῖς· καὶ αὐτὸ ἐκλήθη ἀπὸ Νίσου τοῦ Πανδίονος. τάχα δ' ἀπὸ τοῦ συνοιKUEAGPT κήσαντος αὐτῷ Μεγαρέως τοῦ Ποσειδῶνος 〈οἱ Μεγαρεῖς ὠνομάσθησαν〉 . 〈 ἀριστεύοντες ἐρετμοῖς : 〉 ναυτικοὶ γάρ εἰσι.

12 27-33b μαρτυρεῖ δὲ αὐτοῖς 〈καὶ〉 Σιμωνίδης (fgm. 199 Bergk Poet. lyr. gr. III 4 523) 〈τὴν〉 ναυτικήν. ἀριστεύοντες : καὶ Σιμωνίδης (v.

12 27-33c

supra). ἐπαινεῖ τοὺς Μεγαρεῖς. ὁ δὲ νοῦς· ὦ Νισαῖοι Μεγαρεῖς, εὐδαιμονοίητε διὰ τοῦτο, ὅτι τὸν Ἀθηναῖον φιλόπαιδα Διοκλέα καταφυγόντα πρὸς ὑμᾶς μεῖζον ἢ τοὺς ἄλλους ξένους ἐτιμήσατε.

12 27-33e αἰεί οἱ : Εὐμόλπου ... ἐπιστρατεύσαντος τῇ Ἀττικῇ ἐπ’ Ἐλευσῖνος φυγὼν Διοκλῆς εἰς Μέγαρα ἧκε, καί ποτε πολέμου καταλαβόντος τοῦ ἑαυτοῦ ἐρωμένου ὑπερασπίσας ἐκεῖνον μὲν ἔσωσεν, αὐτὸς δὲ ἀπέθανεν· ὅθεν αὐτὸν ὡς ἥρωα σέβονται οἱ Μεγαρεῖς. οἰκείοιτε : μακαρισθείητε, ὅτι ὑπερβαλλόντως Διοκλέα ἐτιμήσατε.

12 27-33f οὗτος γὰρ Ἀθήνηθεν φεύγων εἰς Μέγαρα, φιλόπαις ὑπερφυῶς ὤν, ἔν τινι μάχῃ ἠρίστευσε καὶ ὑπερασπίζων τινὸς ἐρωμένου ἐκεῖνον μὲν ἔσωσεν, αὐτὸς δ’ ἐτελεύτησεν. ὅθεν τοὺς Μεγαρεῖς θάψαι αὐτὸν καὶ τιμᾶν ὡς ἥρωα ἀγῶνά τε αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλημάτων ἀγωνίζεσθαι· τὸν δὲ καταφιλήσαντα αὐτῶν ἥδιστα, τοῦτον ὑπὸ τοῦ κριτοῦ ὡς κρείττω στεφανοῦσθαι. ἦ που τὸν χαροπόν : τὸν Γανυμήδην παρέλαβεν ὡς θεὸν καὶ τὰ περὶ γλυκύτητα τῶν φιλημάτων εἰδότα.

12 35-37a ἔστι δὲ ὁ νοῦς οὗτος· δοκεῖς μοι ὄντως, ὦ μακάριε κριτά, ἐπικαλεῖσθαι πολλὰ τὸν Γανυμήδην σύνθρονον σαυτῷ πολλάκις γίνεσθαι ἀξιῶν, ὡς αὐτοῦ παρόντος ἄξιος εἴης τῶν φιλημάτων κριτής, καὶ τὸν μυθευόμενον Λύδιον λίθον τοῦ χρυσοῦ τῆς ὕλης [ὄντως] κριτὴν ἀποδεῖξαι τὸ σὸν ἀντικρὺ στόμα. τοῦτον γὰρ δή φασιν ἐν Πακτωλῷ τῆς Λυδίας ὄρει τὴν γένεσιν ἔχοντα δεδημιουργῆσθαι ὑπὸ τῆς φύσεως εἰς δοκιμασίαν [τοῦ χρυσοῦ] ἀνθρώποις τῆς ἐν τῷ χρυσῷ διακειμένης ἀρετῆς· ᾧ δὴ τὸ σόν, ὦ φίλε, παραβάλλειν δοκῶ μοι στόμα καὶ τὸν ἐπὶ φαυλότητι χρυσοῦ λίθον Λύδιον τὸ σὸν στόμα εἶναι φαίην ἂν ἀληθῶς. Γανυμήδεα : εὔχεται, φησίν, ὁ κριτὴς τῷ Γανυμήδει, ἵν’ ἐπιτήδειον ἔχῃ τὸ στόμα πρὸς τὸ δικάζειν τὰ φιλήματα οὕτως ὡς ἡ Λυδία λίθος δοκιμάζει τὸν χρυσόν, εἴτε καλὸς εἴτε καὶ μή.

12 35-37b 〈ἔστι δὲ〉 ἡ λεγομένη χρυσῖτις· 〈Λυδία δὲ λέγεται〉 UEAGPT ὡς τοῦ λίθου τούτου παρὰ Λυδοῖς εὑρισκομένου. τὸ δὲ ἑξῆς οὕτως· εὔχεται τῇ Λυδίᾳ πέτρᾳ ἴσον ἔχειν τὸ στόμα, ᾗτινι οἱ ἀργυραμοιβοὶ τὸν χρυσὸν δοκιμάζουσιν. Ὕλας Ἐπιγράφεται τὸ εἰδύλλιον Ὕλας.

13 arg a πάλιν δὲ τῷ Νικίᾳ προσδιαλέγεται ὡς καὶ ἐν τῷ Κύκλωπι (XI 2). ἐκτίθεται δὲ τὰ περὶ τὸν Ὕλαν καὶ Ἡρακλέα· τοῦ μὲν Ὕλα τὴν ὑπὸ τῶν Νυμφῶν ἁρπαγήν, τοῦ δὲ Ἡρακλέους τὴν πλάνην καὶ τὴν KLUEAGPT ὑπὲρ τοῦ Ὕλα βάσανον. εἴρηται δὲ Δωρίδι διαλέκτῳ.

13 arg b GPT οὐχ ἁμῖ ν , φησί, μόνοις τοῖς θνητοῖς τὸν Ἔρωτα ἔτεκεν, ὅστις ποτέ ἐστιν, ἀλλὰ καὶ Ἡρακλῆς ἠράσθη.

13 1/2a ἐπεὶ δὲ τὰ τῆς [ὑπὸ τῶν Νυμφῶν] γενέσεως τοῦ Ἔρωτος εἰς πολλὰ διαλλάττει, διὰ τοῦτό φησι· ᧠τινι τοῦτο θεῶν τέκνον ἔγεντ ο . τὸ οὐχ ἁμῖν περισπᾶται· ἔχει γὰρ διαστολὴν πρὸς τὸν Ἡρακλέα.

13 1/2b ὁ δ’ ἀναδιπλασιασμὸς ἐρῶντος ἔχει μίμησιν. ἀμφιβάλλει, τίνος υἱὸν εἴπῃ τὸν Ἔρωτα.

13 1/2c Ἡσίοδος (Theog. 116—120) μὲν γὰρ Χάους καὶ Γῆς, Σιμωνίδης (fgm. 43 Bergk Poet. lyr. gr. III 4 408) Ἄρεος καὶ Ἀφροδίτης, Ἀκουσίλαος (fgm. 3 Diels Fgm. d. Vorsokr. II 3 207) Νυκτὸς καὶ Αἰθέρος, Ἀλκαῖος (fgm. 13 b Bergk l. l. 152) Ἴριδος καὶ Ζεφύρου, Σαπφὼ (fgm. 132 Bergk l. l. 131) Γῆς καὶ Οὐρανοῦ καὶ ἄλλοι ἄλλων. οἳ θνητοί : ἀντὶ τοῦ ἐφήμερον ζῶμεν βίον.

13 4 παρατηρητέον δέ, ὅτι κἀνταῦθα δεύτερον περὶ τοῦ αὐτοῦ λέγει μιμούμενος τὸν ἐρῶντα. πέφυκε γὰρ ὁ Ἔρως τὴν περὶ 〈τοῦ〉 αὐτοῦ μνήμην τοῖς ἐρῶσιν ἐμβάλλων. λῖν τὸν λέοντα ἀπὸ εὐθείας τῆς λίς.

13 6a καὶ Ὅμηρος (Λ 480)· ‘ἐπί τε λῖν ἤγαγε δαίμων‘ καὶ (Ο 275)· ‘λὶς ἠυγένειοσ‘. UEAGPT ὃς τὸν λῖν : ἱστορεῖται λέοντας ὑφ’ Ἡρακλέους διαφθαρῆναι τὸν Ἑλικώνιον, τὸν Λέσβιον, τὸν Νεμεαῖον.

13 6c λῖν : τὸν ἐν Νεμέᾳ, οὗ καὶ τὴν δορὰν ἐφόρει. L g U g E g GP m Ὕλα : τὸν Ὕλαν Σωκράτης (fgm.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 7-9a 11 Mueller Fgm. hist. gr. IV 499) υἱὸν Ἡρακλέους φησίν, Ἀπολλώνιος δὲ ὁ Ῥόδιος (I 1213 al.) Θειοδάμαντος, 〈Νί〉 καν 〈δρος (fgm. 48 Schneider, p. 57) δὲ〉 Κήυκος, Εὐφορίων (fgm. 87 ScheidK weiler Diss. phil. Bonn. 1908, 61) δὲ Πολυφήμου τοῦ Ποσειδῶνος ἐρώμενον [καὶ ἄλλοι ἄλλων]. ὅσσα μαθών : Ἀριστοφάνης φησὶν ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα, Ἡρόδωρος (fgm.

13 7-9b 4 Mueller Fgm. hist. gr. II 29) δὲ ὑπὸ τῶν βουκόλων Ἀμφιτρύωνος, τινὲς δὲ ὑπὸ Χείρωνος καὶ Θεσπίου. φορεῦντος : ἢ τοῦ ἔχοντος τὰς τρίχας τῆς κεφαλῆς πεπλεγμένας, ἵν' ᾖ τὸ φοροῦντος ἀντὶ τοῦ φέροντος καὶ ἔχοντος· ἢ τοῦ τοὺς πλοκάμους φοροῦντος, ἤγουν ἐνδυομένου καὶ περιβαλλομένου· ἴσως γὰρ ἂν φαλακρὸς ἦν, περιεβάλλετο δὲ ἀλλοτρίας τρίχας τῇ κεφαλῇ.

13 7-9d Ὕλας παῖς ὑπῆρχε Θειοδάμαντος τοῦ Δρύοπος. μαθών : ὁ Ἡρακλῆς.

13 7-9e πεπαιδεῦσθαι αὐτόν φασιν οἱ μὲν ὑπὸ Ῥαδαμάνθυος, οἱ δὲ ὑπὸ βουκόλων Ἀμφιτρύωνος, 〈οἱ δὲ ὑπὸ Χείρωνοσ〉 καὶ Θεσπίου. χωρὶς δ ' οὐ : οὐδέποτε, φησίν, ὁ Ἡρακλῆς αὐτοῦ ἐχωρίζετο, οὔτε μεσούσης τῆς ἡμέρας, οὔτε ταῖς ἑωθιναῖς ὥραις, οὔτε τὸν καιρόν, καθ' ὃν οἱ νεοσσοὶ οἱ ἐν οἰκήματί τινι ὄντες ἀποβλέποιεν εἰς τὴν κοίτην, πτερυσσομένης τῆς μητρὸς καὶ λοιπὸν ἀναχωρούσης, τὴν τελευταίαν ἐκδεχόμενοι τροφήν.

13 10-13b ὀρτάλιχοι : οἱ νεοσσοί. ἢ στρουθῶν γένη. θρηνητικὸν δὲ τὸ ζῷον ἐλπίδι τροφῆς. ὀρτάλιχοι : νεοσσοὶ μικροί, μηδέπω πετόμενοι.

13 10-13c μινυροὶ δὲ ἀντὶ τοῦ μινυρίζοντες καὶ λεπτῇ φωνῇ θρηνοῦντες. σεισαμένας : πτερυσσομένης, ὅπως ὑπὸ τὰς πτέρυγας τοὺς νεοσσοὺς λάβῃ.

13 10-13e πέτευρον : ἐπίμηκες ξύλον. ἔνιοι τὴν δοκόν, οἱ δὲ πηκτὸν ὀρνιθοτροφεῖον. K πέτευρον δὲ σανίδιον λεπτὸν καὶ τεταμένον, ᾧ εἰς τοὺς ὀρόφους ἀντὶ τῶν κεράμων πολλοὶ χρῶνται.

13 10-13f οἱ δὲ αἰθαλόεν πέτευρον τὴν δοκὸν λέγουσιν, ὡς καὶ Ὅμηρος· 'αὐτὴ δ' αἰθαλόεντας (χ 239) ἀνὰ ῥῶγας μεγάροιο (χ 143)'. UEAGPT τινές φασιν αἰθαλόεν εἰπεῖν τὸ πέτευρον διὰ τὸ αἴτιον εἶναι αἰθάλης.

13 10-13g ἢ ἀπὸ τοῦ αἴθεσθαι λίαν οὕτως αὐτὸ ἔφη. ἕως κατὰ γνώμην ὁ παῖς, τὴν Ἡράκλειον γνώμην τε καὶ καλοκἀγαθίαν, διδαχθείη.

13 14a K 〈 κατὰ θυμόν : 〉 κατὰ τὴν ἰδίαν βούλησιν.

13 14b L g U g E g P m αὐτῷ δ ' εὖ ἕλκων : ἑαυτῷ δ' εὖ βιῶν, ἐπ' εὐδοξίᾳ τῇ ἑαυτοῦ ζῶν.

13 15a ἢ ψιλῶς τὸ αὐτ ῷ , ἵν' ᾖ τῷ Ἡρακλεῖ. K αὐτῷ δ ' εὖ ἕλκων : ἀντὶ τοῦ αὐτόθεν· ὡς παραυτόθεν ἐκ νεότητος καλῶς ἕλκων καὶ κατὰ μηδὲν ἐλαττούμενος μηδὲ ἐλλείπων ἀνὴρ γένοιτο.

13 15b εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν βοῶν τῶν ἐκ νέου εἰθισμένων καλῶς ἕλκειν. πασᾶν ἐκ πολίων : ἐξ ἑκάστης πόλεως οἱ πρῶτοι συνηθροίσθησαν ἐν τῇ Ἀργοῖ Ἰάσονι.

13 18a K 〈 ὧν ὄφελός τι : 〉 παρ' ὧν βοήθειά τις.

13 18[b] L g U g E g 〈 Ἰαολκόν : 〉 εἰς τὴν Μαγνησίαν.

13 20 Μιδέα πόλις Ἄργους, οἱ δὲ κώμην αὐτήν φασιν. Ἀργεία δὲ καὶ ἡ Ἀλκμήνη. UEAGPT ἄτις Κυανεῶν : Καρύστιος ὁ Περγαμηνός (fgm.

13 22/23a 16 Mueller Fgm. hist. gr. IV 359) φησι Κυανέας μὲν KU r EAPT ὑπ' ἀνθρώπων, ὑπὸ δὲ θεῶν Φόρκου πύλας καλεῖσθαι. Τιμοσθένης (fgm. 26 Wagner Die Erdbeschr. d. Tim. von Rhodus, Diss. phil. Lips. 1888, 69) δέ φησιν ἀπὸ τοῦ Ἱεροῦ ὡς κε' σταδίους εἶναι νησίδιον σκοπελῶδες, καλεῖσθαι δὲ τὰς τούτου ἄκρας Κυανέας. καὶ τὸ μὲν νησίδιον τῆς Εὐρώπης, ἡ δὲ ἄκρα τῆς Ἀσίας, ἀπέχουσι δ' ἀλλήλων σταδίους κε'.

13 22/23c

συνδρομάδων : διὰ τὸ συντρέχειν καὶ συνέρχεσθαι ἀλλήλαις καὶ συνθραύειν τὰς διαπερώσας ναῦς. μόνην δέ φασι τὴν Ἀργὼ προνοίᾳ τῆς Ἀθηνᾶς διαβεβηκέναι. ἀ φ ' οὗ τότε : ὥσπερ εἱμαρμένον ταῖς Συμπληγάσι πέτραις, ὡς, εἰ διαβαίη τις ἅπαξ αὐτὰς ἀβλαβής, καὶ τὸ μετὰ ταῦτα μηδένα τι πάσχειν δεινόν.

13 22/23d ἐξ ἐκείνου οὖν τοῦ χρόνου, ἀφ' οὗ ἡ Ἀργὼ διέβη, ἔστησαν τῆς συνδρομῆς. ἦν δὲ πεπρωμένον ταῖς Συμπληγάσι πέτραις, ὡς, εἰ διαβαίη τις μία ναῦς αὐτὰς ἀβλαβῶς, ἐξ ἐκείνου τοῦ χρόνου στῆναι.

13 22/23e διὸ καὶ ἔστησαν τῆς Ἀργοῦς διαβάσης. συνδρομάδων : συνέκρουον γὰρ αἱ Συμπληγάδες πέτραι, ἤγουν αἱ Κυάνεαι, τὰς ναῦς.

13 22/23f μετὰ τὸ περαιωθῆναι δὲ τὴν Ἀργὼ ἐκεῖσε ἔπαυσαν. Φᾶσις πόλις καὶ ποταμὸς ἐν Κόλχοις ὁμώνυμος, παρ' ὃν Ἕλληνες Μιλησίων ἄποικοι.

13 25-28a Πελειάδες : αἱ Πλειάδες. φησὶ Καλλίμαχος (fgm. 381 Schneider, II 572), ὅτι τῆς βασιλίσσης τῶν Ἀμαζόνων ἦσαν θυγατέρες 〈ἑπτά〉, αἳ Πλειάδες καὶ Πελειάδες προσηγορεύθησαν. πρῶτον δ' αὗται χορείαν καὶ παννυχίδα συνεστήσαντο παρθενεύουσαι. ὁ δὲ νοῦς· καθ' ὅν, φησί, καιρὸν ἀνατέλλουσιν αἱ Πλειάδες θάλλει τε πᾶσα ἡ γῆ ταῖς βοτάναις τοῦ ἔαρος, τηνικαῦτα τοῦ ἀπόπλου ἐφρόντιζον. τὰ ὀνόματα τῶν Πλειάδων· Κοκκυμώ, Γλαυκία, Πρῶτις, Παρθενία, Μαῖα, Στονυχία, Λαμπαδώ. θεῖος ἄωτος : ἄωτος τὸ ἀπάνθισμα τῶν ἡρώων, οἷον οἱ πρῶτοι τῶν ἡρώων. [5]

13 25-28c Πελειάδες : περὶ ἀνατολήν, φησί, τῶν Πελειάδων ἤρξαντο στέλλεσθαι τὸν πλοῦν καὶ ἀνάγεσθαι οἱ ἥρωες εἰς Κόλχους. ἔστι δὲ ὁ καιρὸς ἀρχομένου τοῦ θέρους, διὸ καὶ ἐπήγαγε τετραμμένου εἴαρο ς , τουτέστι λήξαντος. UEAGPT θεῖος ἄωτος : τὸ θεῖον ἀπάνθισμα τῶν ἡρώων.

13 25-28d καὶ εἴρηται ἄωτος ἀπὸ τοῦ ἄειν, ὅ ἐστι πνεῖν καὶ ὀδωδέναι. 〈 νότῳ τρίτον ἦμαρ ἀέντι : 〉 διὰ τριῶν ἡμερῶν νότου πνέοντος.

13 30a εἴσω δ ' ὅρμον : καθωρμίσθησαν ἐν τῇ Προποντίδι κατὰ τὴν Κίον, τὴν νῦν καλουμένην Προῦσαν, ἔνθα τὰ κατὰ τὸν Ὕλαν ἦν [ἔνθα] καὶ Ἡρακλῆς ἀπὸ τῶν ἡρώων ἀπελείφθη. Κιανῶν : 〈Κιανοὶ〉 οἱ τὴν Κίον κατοικοῦντες γεωργοί.

13 30b ἔστι δὲ πόλις τῆς Μυσίας, ἡ νῦν καλουμένη Προῦσα ἀπὸ τοῦ 〈τῶν〉 Βιθυνῶν βασιλέως Προυσίου. Κίος δὲ ἀπὸ Κίου τοῦ υἱοῦ Ὀλύμπου, ἀφ' οὗ τὸ ὄρος ὁ Ὄλυμπος. K 〈 Κιανῶν : 〉 τῶν κατοικούντων περὶ τὴν Κίον ἀνθρώπων.

13 31* σπουδαίως σύρουσι. κατὰ ζυγὰ δαῖτα πένοντο : ἤγουν σύνδυο εἰς L g U g E g GP m τὰ περὶ τροφὴν ἠσχολοῦντο.

13 34a στιβάδεσσιν 〈ὄνειαρ 〉 : τὸν λειμῶνα, παρόσον ἐποίουν τὰς στιβάδας ἐκ τῆς ἐν τῷ λειμῶνι φυομένης ὕλης. στιβάδα δὲ καλοῦσι τὴν ἐξ ὕλης χορτώδη κατάστρωσιν. 〈 μέγα στιβάδεσσιν ὄνειαρ : 〉 ἐπιτήδειος εἰς στρωμνήν.

13 37 ἀστεμφεῖ Τελαμῶνι : τῷ στερεῷ καὶ ἐμβριθεῖ τὴν ψυχήν, ἀκαμπεῖ καὶ σκληρῷ οἱονεὶ ἀστρεφεῖ. ἄγγος ἀπὸ τοῦ ἄγεσθαι ἐν αὐτῷ τὸ ὕδωρ.

13 40a ἡμένῳ ἐνὶ χώρῳ : ἀντὶ τοῦ ἐν ταπεινῷ τόπῳ ἀπὸ τοῦ ἧσθαι τὸ καθέζεσθαι μεταφορικῶς. θρίον κυρίως τὸ τῆς συκῆς φύλλον παρὰ τὸ εἰς τρία διεσχισμένον εἶναι, τρίον καὶ θρίον.

13 40b ἀπ' αὐτοῦ καὶ θρίαμβος· οἱ γὰρ παλαιοὶ προπομπὴν ποιοῦντες φύλλα συκῆς ἐκρέμων τῇ προπομπῇ καὶ ἔβαινον. κυάνεόν τε χελιδόνιον : ἤτοι κυανοῦν καθ' ἑαυτό.

13 41a

ἔστι δὲ εἶδος φυτοῦ πολύφυλλον μελανόχροιον. καλεῖται δὲ χελιδόνιον, ὅτι ἅμα τῇ παρουσίᾳ τῆς χελιδόνος ἀνθεῖ. ἀδίαντον : εἶδος ὅμοιον πηγάνῳ, τὰ φύλλα ἔχον μικρότατα, λιπαρὰ δὲ καὶ μέλανα, τὰ κλωνία σπιθαμιαῖα τὰ μέγιστα.

13 41b καυλὸν δ’ οὐκ ἔχει οὐδὲ ἄνθος οὐδὲ καρπόν, ῥίζαν δὲ ἄχρηστον καὶ λεπτήν. καλεῖται δὲ οὕτως παρὰ τὸ μὴ δεύεσθαι ὕδατι, ἐπεί, ἐὰν ἐπιχεύηται ὕδωρ ἐπὶ τῶν φύλλων, οὐ μένει, ἀλλ’ ὀλισθαίνει· δεῦσαι γὰρ τὸ βρέξαι. χελιδόνιον : φυτάριον πλατύφυλλον, μέλαν ὡς ἡ χελιδών, 〈ἢ〉 ὃ ἅμα τῷ φανῆναι τὴν χελιδόνα ἀνθεῖ. [5]

13 41c UEAGPT καὶ τὸ ἀδίαντον δέ ἐστι διαπαντὸς ἄβροχον καὶ ταχέως ὡς ξηραινόμενον, κἂν ὕδωρ αὐτῷ ἐπιβληθῇ καὶ ἐπιχεθῇ, διολισθαίνει.

13 41d UEAP ἔστι δὲ ὅμοιον πηγάνῳ, τὰ φύλλα ἔχον μικρότατα καὶ μέλανα.

13 41e καυλὸν δ’ οὐκ ἔχει οὐδὲ ἄνθος οὐδὲ καρπόν, ῥίζαν δὲ μόνον ἄχρηστον καὶ λεπτήν. UEAGPT τὸ ἀδίαντον βοτάνη ἐστὶν ἀεὶ ἄβροχος.

13 41f ὅθεν καὶ τὸ ὄνομα, ἀπὸ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ διαίνω τὸ βρέχω, ἤγουν τὸ μηδόλως βρεχόμενον διὰ τὸ εἶναι ὀρθόν τι καὶ ὀξὺ καὶ γλίσχρον. εἰλιτενὴς 〈ἄγρωστισ〉 : ἡ εἰλουμένη ἀπὸ τῆς βλαστήσεως κισσοειδῶς.

13 42a ἔστι δὲ πρασοειδὴς βοτάνη. K 〈εἰλιτενὴσ〉 ἄγρωστις : ἡ συνεστραμμένη, καθὸ εἰλεῖται ἐπὶ μῆκος καὶ περιπλέκεται τοῖς φυτοῖς κισσοειδῶς.

13 42b ἄγρωστις δέ ἐστιν ἡ παρὰ τοῖς γεωργοῖς ἀγρία καλουμένη. τὴν ἄγρωστιν ἄλλοι φασὶ βοτάνην πρασοειδῆ, ἣν ἰδιωτικῶς φασι κολλητζίδαν.

13 43 χορὸν ἀρτίζοντο : συνέβη, φησί, καθ’ ὃν καιρὸν ἦλθεν ἀντλῆσαι, τότε τὰς Νύμφας αὐτόθι χορείαν συστήσασθαι. δειναὶ θεαὶ 〈ἀγροιώταισ〉 : παρόσον φόβον ἔσθ’ ὅτε αὐτοῖς ἐγγεννῶσί τε καὶ ἐπάγουσιν, ὅθεν καὶ νυμφολήπτους τινάς φαμεν [καὶ οἱ νυμφόληπτοι].

13 45 〈 ἔαρ θ ’〉 ὁρόωσα : ἱλαρὸν καὶ ἡδὺ βλέπουσα, ἀπὸ τῆς περὶ τὸ ἔαρ τερπνότητος. κρωσσὸς τὸ ἀγγεῖον—μέγα, κροσσὸς δὲ ὁ τοῦ πύργου καὶ ὁ τοῦ ἱματίου—μικρόν.

13 46b ἐπέβαλε τῷ ὕδατι πολυχώρητον ὑδρίαν. πᾶσαι ἔφυσαν : ὁ μὲν κατένευσεν ἀντλῆσαι, καὶ πᾶσαι τῆς χειρὸς αὐτοῦ ἐπελάβοντο.

13 48 πασάων γὰρ ἔρως : πάσας, φησίν, ὁ πρὸς αὐτὸν πόθος εἶχεν εὐθύς. συμφωνεῖ δὲ τῇ ἁρπαγῇ καὶ Ἀπολλώνιος ὁ Ῥόδιος (I 1234 sqq.) καὶ Νίκανδρος (fgm. 48 Schneider, p. 57). ὁ μέντοι Ὄνασος ἐν Ἀμαζονικοῖς φησιν αὐτὸν εἰς τὴν κρήνην πεσεῖν καὶ ἀποθανεῖν. [ Ἀργείῳ ἐπὶ παιδί:] κατηνέχθη, φησίν, ὁ Ὕλας εἰς τὸ ὕδωρ, ὡς ἀστὴρ ἄνωθεν ἐξ οὐρανοῦ κατενεχθείη, ὃς σύμβολον γένοιτ’ ἂν ναύταις ἀνδράσι δεξιοῦ πλοῦ καὶ παραινετικὸς ὡς πρὸς τὸ συμπαρασκευάζεσθαι τὴν ταχίστην τὸν ἀπόπλουν. [5]

13 49-52a κατὰ καιρὸν δέ φησι καὶ προσφόρως τῷ πράγματι. πυρσὸν ὠνόμασε τὸν ἀστέρα τὸν Ὕλαν προφαίνων δηλονότι· καὶ ὁ Ὕλας πῦρ ἦν ἄντικρυς ἐπιφανεὶς ταῖς Νύμφαις ἐρωτικῶς φλέγων αὐτάς.

13 49-52c κουφότε ρ ’ ὦ παῖδες : εὔλυτα καὶ εὐτρεπῆ ποιεῖτε τὰ ἱστία· οὔριον γὰρ ἐπιγενήσεται πνεῦμα—ὡς τοιούτου ὄντος σημείου, ἐπὰν πέσῃ ἀστήρ. KUEAGPT παρεψύχον τ ’ ἐπέεσσι : παρεμυθοῦντο χαριέντως.

13 54 βουκολικῶς τὸ παρεψύχοντο ὡς ἐπὶ τῶν πηγῶν. KL g U g E g ᾤχετο Μαιωτιστί : ἀντὶ τοῦ Σκυθιστί· Μαιῶται γὰρ ἔθνος Σκυθικὸν παροικοῦν τὴν Μαιῶτιν λίμνην, τοξικώτατον.

13 56a Σκυθικοῖς δὲ ὅπλοις ἐχρήσατο Ἡρακλῆς, ὥς φασιν Ἡρόδωρος (fgm. 5 Mueller Fgm. hist. gr. II 29) καὶ ΚαλλίΚ μαχος (fgm. 365 Schneider, II 566). ᾤχετο Μαιωτιστί : ἤτοι Σκυθιστί· Μαιῶται γὰρ οἱ Σκύθαι οἱ περιοικοῦντες τὴν Μαιῶτιν λίμνην. [5]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 56b ἐχρῆτο δὲ ὁ Ἡρακλῆς τοῖς Σκυθικοῖς τόξοις διδαχθεὶς παρά τινος Σκύθου Τευτάρου. UEAGPT ἀραιά : λεπτή, ἀσθενής.

13 58-60a οὐχ ὡς κατὰ φύσιν ἀσθενῆ φωνὴν τοῦ Ὕλα ἔχοντος, ἀλλ' ἢ ἐν βάθει ὄντος ἢ ὑπὸ τῶν Νυμφῶν κατεχομένου. KL m U r E m AT εἴδετο πόρρω : ἄγαν ἐγγὺς ὢν πόρρωθεν ἐδόκει ἀκούειν διὰ τὸ λεπτὴν αὐτοῦ καὶ ἀμαυρὰν φέρεσθαι τὴν φωνήν.

13 58-60b KUEAGPT 〈 τρὶς—τρίς : 〉 ἢ ὡμοίου τὸν Ὕλαν ἢ αὐτὸς ὡμοιοῦτο.

13 58-60d 〈 ἤρυγε : 〉 ἀνέπνεεν· ἐρυγὴ γὰρ ἡ πνοή. νεβρῶ φθεγξαμένας : οὐκ ἤρτηται, 〈ἀλλὰ〉 καθ' ἑαυτό.

13 62-65a διασαφηνιστέον δὲ οὕτω· νεβροῦ φθεγξαμένου λέων τις κατ' ὄρος ᾐσθημένος καταλιπὼν τὴν εὐνὴν ὀξέως ἂν ἐπιδράμοι πρὸς τὴν βορὰν ἐπειγόμενος· τοιούτῳ δὴ τῷ θυμῷ καὶ Ἡρακλῆς τότε συσχεθεὶς περιῄει τὴν ὕλην τὸν Ὕλαν ἀναζητῶν. ὥσπερ νεβροῦ φθεγξαμένης ἐκ κοίτης λέων ἀκούσας σπεύδει ἐπὶ τὴν ἑτοίμην τροφὴν αὐτοῦ. [5]

13 67 〈 ὕστερα : 〉 τῷ Ἡρακλεῖ τῆς ἀναζητήσεως τοῦ Ὕλα. ναῦς μέν γ ' ἄρμενα : ἐν .

13 68 .. ναῦν Ἀργώ φησι κατασκευάσασθαι. ἡ μὲν ναῦς τὰ σιτία καὶ τὰ προσήκοντα φέρουσα μετέωρα τῶν ἐνόντων. ἱστία δ ' ἠΐθεοι : τὰ δὲ ἱστία μεσούσης νυκτὸς ἐξεκάθαιρο ν , ἐξήπλουν μένοντες τὸν Ἡρακλέα· τὸ γὰρ ἐξαπλῶσαι ἐκκαθῆραι λέγουσιν.

13 70 ὃ δ ' ᾇ πόδες : ὁ δ' Ἡρακλῆς, ὅπου οἱ πόδες αὐτὸν ἦγον, ἐκεῖ ἐπορεύετο. οὕτω μὲν κάλλιστος : ἐπειδή, φησίν, ἐλείφθη παρὰ τοῦ Ἡρακλέους, ὁ Ὕλας ἐναρίθμιός ἐστι τοῖς θεοῖς.

13 73 λιποναύταν : καθάπερ λιποτάκτην. 〈 ἠρώησε : 〉 κατέλειψεν, ἐξέφυγεν, ἀπὸ τοῦ ἐρωῆσαι.

13 74b τριακοντάζυγον Ἀργώ : λ′ ἔχουσαν καθέδρας ἐρετῶν, ὡς ξ′ εἶναι τοὺς πλέοντας. πεζᾷ δ ' ἐς Κόλχους : τοῦτο ἰδίως ὁ Θεόκριτος λέγει, ὅτι πεζῇ ἦλθεν εἰς Κόλχους, τῶν ἄλλων λεγόντων μὴ παραγενέσθαι, ἀλλὰ κατὰ βουλὴν τῆς Ἥρας ἀπολειφθῆναι, ἵνα δόξῃ Ἰάσων κατωρθωκέναι τὸν ἆθλον.

13 75a K πεζᾷ δ ' εἰς Κόλχως : ἰδίως πεζόν φησι τὸν Ἡρακλέα εἰς Κόλχους ἐλθεῖν.

13 75b ἡ γὰρ πολλὴ κατέχει δόξα, ὅτι βουλῇ Ἥρας ὑστέρησεν Ἡρακλῆς ὑπὲρ τοῦ τὸν Ἰάσονα κατορθῶσαι μόνον δοκεῖν τὸν εἰς Κόλχους πλοῦν καὶ μὴ ἐξιδιοποιήσασθαι τὸν UEAPT ἆθλον αὐτοῦ. Μνασέας (fgm. [5]

13 75c 31 Mueller Fgm. hist. gr. III 154) Κόλχους φησὶ κληθῆναι ἀπὸ Κόλχου τοῦ Φάσιδος. K Φαρμακεύτριαι Ὑπόκειται Σιμαίθα Δέλφιδος Μυνδίου τινὸς ἐρῶσα, ὃν παιδικοῖς προσλιπαροῦντα ἐν παλαίστρᾳ ἡ Σιμαίθα φίλτροις τε καὶ φαρμάκοις διά τινος θεραπαίνης Θεστυλίδος ὑποδιακονουμένης ἐφ' ἑαυτὴν πειρᾶται μεταφέρειν, ἐπικαλουμένη KEAG τήν τε Σελήνην καὶ τὴν Ἑκάτην ὡς ἐπὶ τῷ ἔρωτι συμβαλλομένας νυκτερινὰς θεάς. [5]

2 arg a τὴν δὲ Θεστυλίδα ὁ Θεόκριτος ἀπειροκάλως ἐκ τῶν Σώφρονος μετήνεγκε Μίμων (fgm. 5 Kaibel Com. gr. fgm. I 1, 155 )· 〈...〉 [ καί μ ' ἁ Θευμαρίδα:] 〈.

2 arg b ..〉 πρὸς τὴν Σελήνην καὶ τὴν Ἑκάτην φησί. ταύτας γὰρ συνεργοὺς εἰς τὴν περὶ τοῦ ἐρωμένου φαρμακείαν παραλαμβάνει. τὴν δὲ τῶν φαρμάκων ὑπόθεσιν ἐκ τῶν Σώφρονος Μίμων (fgm. 4 Kaibel ib. 154) μεταφέρει ὑπο τε το...οφιγγα ὀρρο.. ποτὲ βληθέν. 〈 δάφναι : 〉 συνετέλουν γὰρ αἱ δάφναι ταῖς γοητείαις. [5]

2 1b 〈 φίλτρα : 〉 τὰ πρὸς φιλίαν ὀτρύνοντα φάρμακα. στέψον : στεφάνωσον.

2 2a κελέβη δέ ἐστι ποτήριον ξύλινον κυλικῶδες. Εὐφορίων ἐν Ποτηριοκλέπτῃ (fgm. 8 Scheidweiler Diss. phil. Bonn. 1908, 25 )· ‘ὅστις ἐμὴν κελέβην Ἀλυβηΐδα μοῦνος ἀπηύρα‘. Ἀλύβη ἐστὶν ὄνομα πόλεως. οἰὸς ἀώτῳ : προβάτου ἄνθει ἀντὶ τοῦ ἐρίῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2 2b ὡς συνεργοῦντος δὲ τούτου πρὸς τὰς φαρμακείας τερατεύεται. καταθύσομαι : γράφεται καὶ 〈 καταδήσομα ι , ἤγουν〉 καταμαγεύσω· δεσμεύειν γάρ φασιν αἱ φαρμακίδες, ὅταν πρὸς κατοχήν τινα παρ’ αὐταῖς καταμαγεύσωσιν.

2 6 〈 ἀνάρσιος : 〉 ὁ εἰς φιλίαν ἀνάρμοστος. E g 〈 ἐκ θυέων : 〉 ἐκ τῶν θυσιῶν, μαγειῶν· θύος γὰρ τὸ θῦμα.

2 10b ἀλλὰ Σελάνα : Πίνδαρός (fgm. 104 Schroeder Poet. lyr. gr. I 5 423) φησιν ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενείων, ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται 〈παρ〉 εἶναι Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην. KEAG ταῖς ἔρωτι κατεχομέναις τὴν Σελήνην ἀνακαλεῖσθαι σύνηθες, ὡς καὶ Εὐριπίδης ποιεῖ τὴν Φαίδραν ἐν τῷ Καλυπτομένῳ Ἱππολύτῳ (Nauck Trag.

2 10c gr. fgm. 2 491). παρ’ ἣν δὲ αἰτίαν τοῦτο ἔπραττον, ἔνιοί φασιν, ὅτι ἐπειδὴ σιγηλὴ ἡ νύξ, δεῖ δὲ τοῖς κλεπτομένοις ἔρωσι σιγῆς καὶ νυκτός. Μένανδρος (fgm. 739 Kock Com. att. fgm. III 209 )· ‘ὦ νύξ, σὺ γὰρ δὴ πλεῖστον Ἀφροδίτησ‘. ἢ ὅτι καὶ ἡ Σελήνη περὶ ἐρωτικά τινα ἐνενοσήκει, παρὸ καὶ ταῖς τῷ αὐτῷ πάθει κεχρημέναις συμπράσσει· τὰ γὰρ περὶ Ἐνδυμίωνα πρόδηλα. ἢ ὅτι διάπυρος ἡ θεός, καὶ τὸ πάθος δὲ τοιοῦτον, εἰ καὶ ‘ἠπεδανὴ ταῖς φλοξίν‘, ὥς φασιν. ἥσυχα , δαῖμον : σοὶ γὰρ καλὸν ὕμνον προσυμνήσω, ὦ Σελήνη, καὶ τῇ Ἑκάτῃ.

2 11/12a χθονίαν δὲ τὴν Ἑκάτην φησί, παρόσον Περσεφόνης τροφός, ἢ παρόσον 〈νερτέρων〉 πρύτανιν αὐτὴν τέθεικε Σώφρων (fgm. 7 Kaibel Com. graec. fgm. I 1, 155). τᾷ χθονίᾳ θ ’ Ἑκάτᾳ : τὴν Ἑκάτην χθονίαν φασὶ θεὸν καὶ νερτέρων πρύτανιν, καθὰ καὶ Σώφρων (v.

2 11/12b supra, cf. ib. p. 161)· Ἥραν μιχθεῖσαν Διὶ γεννῆσαι παρθένον, ὄνομα δὲ αὐτῇ θέσθαι Ἄγγελον. ταύτην δὲ μετὰ τὴν γέννησιν [ὑπὸ] ταῖς Νύμφαις δοθῆναι παρὰ τοῦ Διὸς τρέφεσθαι. αὐξηθεῖσαν δὲ κλέψαι τὸ τῆς Ἥρας μύρον, ᾧ τὸ πρόσωπον αὐτῆς ἐθὰς ἦν χρίεσθαι, καὶ δοῦναι Εὐρώπῃ τῇ Φοίνικος θυγατρί. αἰσθομένην δὲ τὴν Ἥραν ἐφορμῆσαι βουλομένην αὐτὴν κολάσαι. τηνικαῦτα μὲν τὸ πρῶτον εἰς γυναικὸς τετοκυίας οἶκον καταUEA g φυγεῖν, ἐκεῖθεν δὲ πρὸς ἄνδρας νεκρὸν φέροντας. ὅθεν τὴν μὲν Ἥραν ἀποστῆναι, τὸν δὲ Δία τοὺς Καβείρους κελεῦσαι ἀναλαβόντας καθᾶραι αὐτήν. ἐκείνους δὲ ἐπὶ τὴν Ἀχερουσίαν λίμνην ἀπαγαγόντας ἁγνίσαι. ὅθεν τὴν θεὸν ἀποκεκληρῶσθαι τοῖς τεθνεῶσι καὶ καταχθονίοις φασίν. τᾷ χθονίᾳ Ἑκάτᾳ : Καλλίμαχος (fgm.

2 11/12c 556 Schneider, II 691) κατὰ λέξιν ὧδέ φησιν· ‘τῇ Δήμητρι μιχθεὶς ὁ Ζεὺς τεκνοῖ Ἑκάτην διαφέρουσαν ἰσχύϊ καὶ μεγέθει τῶν θεῶν‘. ἣν ὑπὸ γῆν πεμφθῆναι ὑπὸ τοῦ πατρὸς πρὸς Περσεφόνης ζήτησιν 〈... διὸ〉 καὶ νῦν Ἄρτεμις καλεῖται καὶ Φύλαξ καὶ Δᾳδοῦχος καὶ Φωσφόρος καὶ Χθονία. τὰν καὶ σκύλακες : διὰ τὸ σκύλακας ἐκφέρεσθαι δεῖπνα τῇ Ἑκάτῃ.

2 11/12d Ἀριστοφάνης ἐν Δαιταλεῦσι (fgm. 204 Kock Com. att. fgm. I 443 )· ‘τί δαί; κυνίδιον [λεπρὸν] λευκὸν ἐπρίω τῇ θεᾷ εἰς τὰς τριόδους;‘ UEAG ἠρία : οἱ τάφοι κοινῶς παρὰ τὸ ἐνηρεῖσθαι τῇ γῇ· ἢ παρὰ τὴν ἐπιχεομένην τοῖς νεκροῖς ἔραν, ὅ ἐστι γῆν.

2 13 KUEAG δασπλῆτι : ᾗ οὐκ ἄν τις πελάσειεν· ἢ διὰ τὸ δ α ἐπιτατικὸν πολυπέλαστε· ἢ ἀντὶ τοῦ πολεμική, ἵν’ ἔγκειται ἡ δαΐς, τουτέστιν ἡ μάχη· ἢ ἡ προσπελάζουσα ταῖς δᾳσί, τουτέστι φωσφόρος, ἐπεὶ ἡ αὐτή ἐστι τῇ Σελήνῃ.

2 15/16a φάρμακα : ἔτι καὶ νῦν ἐν τῷ Σεληναίῳ ὄρει ὅλμους δεικνύουσι τῆς Μηδείας καὶ Κίρκης, ἐν οἷς ἔκοπτον τὰ φάρμακα. Περιμήδας : αὕτη ἐστὶν ἡ παρ’ Ὁμήρῳ (Λ 741) Ἀγαμήδη, ‘ἣ τόσα φάρμακα εἶδεν, ὅσα τρέφει εὐρεῖα χθών‘.

2 17 ἴυγξ : ὄρνεον Ἀφροδίτης, ὃ αἱ φαρμακίδες συνεργὸν ἔχουσι πρὸς τὰς μαγείας. εἰς γὰρ τροχὸν κήρινον ἐμβαλοῦσαι καὶ διὰ ἱμάντος ἑκατέρωθεν ἀνάψασαι τοῦτο, περιστρέφουσαι ῥομβοῦσι τὸν κυκλίσκον ὑπὲρ πυρᾶς ἐπᾴδουσαι ὃ βούλονται· ὁ δὲ ἀναδινούμενος ἡσύχως τήκεται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιλέγουσι δὲ αὐτῷ εἰ τύχοι· ὡς οὗτος τήκεται ὁ ῥόμβος, οὕτω καὶ ὁ ἐμοῦ ἐρῶν τακείη. λέγουσι δὲ καὶ αὐτὸν τὸν ἔρωτα ἀπὸ τοῦ ἐνόντος ζῴου ἴυγγα, ὥς φησι καὶ Πίνδαρος (Nem. IV 35). 〈...〉 καθά φησιν Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων (Hist. an. II 12, 504 a 12) μικρῷ μεῖζον σπίζης αὐτὸ λέγων· ἢ κιναίδιον ἢ φερωνύμως σεισοπυγὶς καλεῖται διὰ τὸ πανταχοῦ στρέφειν καὶ λυγίζειν [τὸν αὐχένα ἢ] τὴν πυγήν. ἢ 〈παρὰ〉 τὴν Ἴυγγα, ἥν φησι Καλλίμαχος (fgm. 100 c , 8 Schneider, II 293) Ἠχοῦς θυγατέρα, φαρμακεύειν δὲ τὸν Δία, ὅπως ἂν αὐτῇ μιχθῇ· ὅθεν ὑπὸ Ἥρας εἰς ὀρνιθάριον αὐτὴν μεταβληθῆναι καὶ συνεργεῖν ταῖς φαρμακείαις. ἄλφιτά τοι : εἰώθασιν αἱ φαρμακίδες κεχρῆσθαι ἀλεύροις.

2 18a Κ ἄλφιτά τοι πρῶτον πυρὶ τάκεται : ὡς τῶν μαγευουσῶν ἄλφιτα θυουσῶν.

2 18b ταῦτα δὲ καὶ θυλήματα ἔλεγον. τάκεται δὲ τύφεται, θυμιᾶται. γράφεται δὲ καὶ κάετα ι . 〈 πᾷ τὰς φρένας : 〉 ποῦ παρηνέχθης τὰς φρένας, ὡς μὴ χωρῆσαι; Κ ἆρά γε καὶ σοί, βδελυρά, ἐπέστη τῆς πεπρωμένης τὸ τέρμα; ἦρά γέ τοι , μυσαρά : ἆρά γε, μυσαρά [ὦ ἐπίπονε], καὶ σοὶ τὸ τέρμα τῆς εἱμαρμένης πάρεστιν; ἐξεπτοημένη γὰρ οὐ διακονεῖς μοι.

2 20b τὸ δὲ τὶν ἐπίχαρμα τέτυγμαι · καταγέλαστός εἰμι καὶ παρὰ σοί. UEAG 〈.

2 21 ..〉 ἵνα [σε] διὰ τῶν φαρμάκων διαφθείρῃ 〈...〉. Κ δάφναν : .

2 23–26a .. 〈δαί〉 εσθαι φωνὴν ἀφιέναι· καιομένη γὰρ μέγα ἠχεῖ. αἴθω · χὠς αὕτη λακεῖ : ἡ δάφνη ψοφεῖ αἰθομένη καὶ ἔστιν ὡς δαοφώνη, 〈ἡ φωνοῦσα〉 ἐν τῷ δαίεσθαι.

2 23c οὕτω τοι καὶ Δέλφις : ὡς αὕτη ἡ δάφνη πυρωθεῖσα καθάπαξ ἠφάνισται, οὕτω καὶ ὁ Δέλφις ἐν φλογὶ τοῦ ἔρωτος διαφθαρείη τὸ σῶμα. σάρ κ ’ ἀμαθυνεῖ : ἄμαθον ποιήσει, ἀφανίσει· ἄμαθος δὲ ἡ κόνις.

2 23e 〈 ἀμαθύνοι : 〉 ξηρανθείη, σποδὸς γένοιτο. σὺν δαίμονι τάκω : ἤτοι τῇ Σελήνῃ ἢ τῷ Ἔρωτι ἢ τῷ ἑαυτῆς δαίμονι, ὡς Μένανδρός (fgm.

2 28a 550 Kock Com. att. fgm. III 167) φησι· ‘δαίμων ἀνδρὶ συμπαρίσταται εὐθὺς γινομένῳ‘. περιβόητον δὲ καὶ τὸ Σωκράτους δαιμόνιον. σὺν δαίμονι : σὺν τῇ Σελήνῃ· πρὸς ταύτην γάρ φησι 〈ἐν τῷ〉 μαγεύειν.

2 29 ὁ Μύνδιος : Μύνδος πόλις Ἀρκαδίας, ἔνθεν ἦν ὁ νεανίας. οἱ δὲ Καρίας φασὶ τὴν Μύνδον. ῥόμβος ὁ χάλκεος : χαλκοῦν ἔφη ῥόμβον τὴν [αἰολ] ἐκ τοῦ κηροῦ καὶ τοῦ πτηνοῦ ἴυγγα διὰ τὴν στερρότητα καὶ δύναμιν τῶν φαρμάκων.

2 30a τὸν δὲ ῥόμβον οἱ Ἀττικοὶ ῥύμβον καλοῦσι. KUEA 〈 ῥόμβος : 〉 ἄτρακτος, ὁ χαλκοῦς τροχὸς ἢ ὁ στερεός.

2 30b U g E g κινήσαις ἀδάμαντα : τινὲς ἀδάμαντα τὸν Πλοῦτον—βέλτιον δὲ τὸν Πλούτωνα λέγειν—διὰ τὴν στερρότητα τῶν πόνων.

2 33/34a κινήσαις δέ, τῇ φαρμακίδι τὸ κατορθοῦν παρέχουσα. KUEA οὐχ ὅτι ἐν τῷ Ἅιδῃ ὁ ἀδάμας ἐστίν, ἀλλὰ τὸν πάνυ σκληρόν φησιν.

2 32/34b εἰ γὰρ ὁ ἐπὶ γῆς ἀδάμας οὕτω σκληρός, πολλῷ μᾶλλον ὁ ἐν Ἅιδῃ. UEA ἀδάμαντα ἢ τὸν λίθον ἢ τὸν ἀδάμαντα σίδηρον.

2 33/34d ἀδάμαντα : τὸν Πλούτωνα, καθὸ σκληρὸς καὶ ἀδάμαστός ἐστιν. καὶ τὸν ἐν Ἅιδῃ 〈κινήσαις ἀδάμαντα 〉 : ἀμείλικτον· ‘δμηθήτω· Ἀΐδης τοι ἀμείλικτος ἠδ’ ἀδάμαστοσ‘ (I 158).

2 33/34f ἐν Ἅιδου ἀδάμαντα ἀκουστέον τὸν στερρότατον. ταῦτα δὲ ἀναφέρει ἐπὶ τὸν Δέλφιδα καί φησι· τὴν ψυχὴν αὐτοῦ δόνησον, καὶ εἴ τι στερεμνιώτερον ἔχει τοῦ ἐν Ἅιδου ἀδάμαντος. ἣν δὲ πρὸς τούτου Ἑκάτην ἐκάλεσε, ταύτην νῦν Ἄρτεμιν λέγει διὰ τὸ ὑπεῖναί τινα κοινωνίαν ταῖς θεαῖς. Θέστυλι , ταὶ κύνες : πρὸς τὴν παιδίσκην φησὶ τεκμαιρομένη ἐκ τῶν ὠρυγῶν τῶν κυνῶν, ὡς τῆς θεοῦ κατὰ τὰς τριόδους πεφηνυίας.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2 35/36a διὸ προστάσσει ὡς τάχος χάλκωμα λαβοῦσαν ἠχεῖν, ὅτι οὐκ ἔλαθεν αὐτὴν φανεῖσα. ἱδρύοντο δὲ τὴν Ἑκάτην ἐν ταῖς τριόδοις, ὅτι ἐπὶ τῶν καθαρμάτων καὶ μιασμάτων ἡ θεός. ἔνιοι δέ φασι Φεραίας τῆς Αἰόλου καὶ Διὸς παῖδα αὐτὴν γεγονέναι καὶ ὑπὸ τῆς μητρὸς εἰς τρίοδον ἐρρίφθαι, τῶν δὲ Φέρητος βουκόλων 〈ἕνα〉 ἀναλαβόμενον ἐκθρέψαι· διόπερ τὰς τριόδους ἱερὰς τῆς θεοῦ νομισθῆναι. ἱδρύοντο δὲ αὐτὴν καὶ πρὸ τῶν θυρῶν, ὥς φησιν Αἰσχύλος (fgm. 388 Nauck Trag. gr. fgm. 2 113 )· ‘δέσποιν’ Ἑκάτη τῶν βασιλείων πρόδομος μελάθρων‘. τὸν δὲ χαλκὸν ἐπήχουν ἐν ταῖς ἐκλείψεσι τῆς σελήνης καὶ ἐπὶ τοῖς κατοιχομένοις, ἐπειδὴ ἐνομίζετο καθαρτικὸς εἶναι καὶ ἀπελαστικὸς τῶν μιασμάτων. διόπερ πρὸς πᾶσαν ἀφοσίωσιν καὶ ἀποκάθαρσιν αὐτῷ ἐχρῶντο, ὥς φησι καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν (fgm. 36 Mueller Fgm. hist. gr. I 434). ὡς τάχος ἤχει : ἀντὶ τοῦ ψόφει, κροῦε, ἐπεὶ ὁ τοῦ χαλκοῦ ἦχος οἰκεῖος τοῖς κατοιχομένοις· φησὶ 〈δ’〉 Ἀπολλόδωρος (v.

2 35/36b supra) Ἀθήνησι τὸν ἱεροφάντην τῆς Κόρης ἐπικαλουμένης ἐπικρούειν τὸ καλούμενον ἠχεῖον· καὶ παρὰ Λάκωσι UEA βασιλέως ἀποθανόντος εἰώθασι κρούειν λέβητα. ὅς με τάλαιναν : ὅστις με ἀνθ’ ἧς ἔχειν ἐπηγγείλατο γυναικὸς γαμετῆς αὐτοῦ εἶναι ἀναίσχυντον πεποίηκε τὴν ταῖς παρθένοις συνοικοῦσαν σωφροσύνην διαφθείρασαν· οὐ γὰρ ἐκπάρθενος, ἀλλ’ ἔτι κόρη οὖσα τῷ Δέλφιδι K κεκοινώνηκεν.

2 40/41b ἀντὶ γυναικός : ὅς με τὴν ἀθλίαν ἀντὶ κοσμίας γυναικὸς ἀναιδῆ καὶ οἷον μαινάδα ἐποίησεν ἀπολέσας τὴν αἰσχύνην· τοῦτο γάρ ἐστι τὸ ἀπάρθενο ν . 〈ἢ〉 ὅστις με ἀντὶ γαμετῆς γυναικὸς ἀπαρθένευτον ἐποίησε καὶ ἄκοσμον. τὸ ἦμεν ἀντὶ τοῦ εἶναι ἐκ τοῦ ἔμμεναι γίνεται ἐκβολῇ τοῦ πρώτου μ καὶ τροπῇ τοῦ ε εἰς η καὶ ἀποκοπῇ τῆς αι διφθόγγου.

2 43a ἐς τρὶς ἀποσπένδω : παρόσον τέλειός ἐστιν ἀριθμὸς ὁ τρεῖς, ἀρχὴ ὢν καὶ μέσον καὶ τέλος. 〈...〉 ἔστι φύσει KEA τρίγωνος. μέχρι τριῶν τοῦτο ἐποίει διὰ τὸ τέλειον εἶναι τὸν ἀριθμὸν τῶν τριῶν.

2 45/46a τόσσον ἔχοι : Θησεὺς ἁρπάσας Ἀριάδνην τὴν Μίνωος καὶ ἀπάρας εἰς Δίαν νῆσον τὴν νῦν καλουμένην Νάξον, κατὰ Διονύσου βούλησιν λήθῃ τινὶ χρησάμενος ἀπέλιπεν αὐτὴν καθεύδουσαν. πολλαὶ δέ εἰσι νῆσοι Δῖαι καλούμεναι, ἥ τε πρὸ τῆς Κρήτης, οὗ εἰκὸς συμβῆναι τὰ περὶ τὴν Ἀριάδνην, καὶ ἡ ὀνομασθεῖσα Νάξος καὶ ἡ περὶ Μῆλον καὶ ἡ περὶ Ἀμοργὸν καὶ ἡ τῆς Κέω χερρόνησος καὶ ἡ τῆς Πελοποννήσου.

2 48/49a ἱππομανὲς φυτόν : οὔτε φυτόν ἐστιν οὔτ’ ἐν Ἀρκαδίᾳ γινόμενον, ἀλλὰ τὸ ἐπιφυόμενον τοῖς πώλοις κατὰ τὴν γένεσιν ἐπὶ τοῦ μετώπου σαρκίον, ὅπερ συντελεῖ πρὸς φίλτρα, ὡς Ἀριστοτέλης (Hist. an. VI 22, 577a 9; cf. VI 18, 572a 21; VIII 24, 605a 2) καὶ Θεόφραστος (cf. fgm. 175 Wimmer ed. a. 1866, 460). Κρατεύας φησὶν ἔχειν τὸ φυτὸν καρπὸν ὡς σικυοῦ ἀγρίου, μελάντερον δὲ τὸ φύλλον, ὥσπερ μήκωνος ἀκανθώδους.

2 48/49b οὐ μέντοι προστίθησιν, εἰ πρὸς φίλτρα συμβάλλεται. ἱππομανὲς φυτόν : ἁπλούστερον ὁ Θεόκριτός φησι φυτὸν ἱππομανές· οἱ γὰρ περιττοὶ καὶ πολυπράγμονες οὔ φασι φυτὸν εἶναι, ἀλλὰ τοὺς ἀποτικτομένους πώλους ἔχειν τι φυόμενον ἐπὶ τοῦ μετώπου γλοιῶδες, ἔλαττον ἰσχάδος, ὃ καλεῖται EA ἱππομανές.

2 48/49c ἀποτρώγουσι δὲ αὐτὸ καὶ ἀπολείχουσιν εὐθὺς αἱ ἵπποι. καὶ εἰ τοῦτο ποιήσωσι, φιλοστοργοῦσι τὰ ἔκγονα· εἰ δὲ μή, ἀπεχθαίρουσι καὶ οὐ προσίενται. διὰ τὸ φυσικῶς οὖν συμβάλλεσθαί τι πρὸς φιλοστοργίαν οἱ ἱπποφορβοὶ ἀφαιροῦσιν αὐτό, καὶ αἱ φαρμακίδες χρῶνται αὐτῷ πρὸς τὰ φίλτρα. φασὶ δὲ ὅτι, εἰ αἴσθοιντο τῆς ὀσμῆς αἱ ἵπποι, ἐκμαίνονται πρὸς τὸν ἔχοντα αὐτό. διὸ καὶ οὕτως φασίν· ἱππομανέ ς . [ καὶ πῶλοι μαίνονται:] ἴσως φυτὸν αὐτὸ ἔφη ὁ Θεόκριτος οἱονεὶ φῦμα διὰ τὸ ἐπιφύεσθαι τοῖς πώλοις, ὥς φησιν Ἀριστοτέλης (v.

2 48/49d

Eulogikon public reading copy · View original HTML at eulogikon.org

sch. a). λέγει γὰρ καὶ Ἀρχίλοχος (fgm. 42 Bergk Poet. lyr. gr. II 4 393) τὸ φῦμα φυτόν· ‘ἐσθλὴν γὰρ ἀλκὴν οἶδα τοιούτου φυτοῦ [ἴασιν]‘ ἀντὶ τοῦ φύματος. ὣς καὶ Δέλφιν ἴδοιμι : ἀπὸ κοινοῦ τὸ μαινόμενον · ὡς αἱ ἵπποι μαίνονται ἔχοντός τινος τὸ ἱππομανές. [5]

2 50/51[b] 〈 λιπαρᾶς ἔκτοσθε παλαίστρας : 〉 ἔνθα ἀλείφονται ἔλαιον καὶ μετὰ ταῦτα παλαίουσιν. τοῦ τ ’ ἀπὸ τῆς χλαίνης : τοῦτο, φησί, παραδιδοῦσα πυρὶ καὶ ἄκοντα διὰ τῆς μαγγανείας αὐτὸν ἐλθεῖν ἀναγκάσω.

2 53/54b ὡγὼ νῦν τίλλοισα : ἤγουν ἀφ’ οὗ ἐγὼ ἢ ὃ ἐγὼ κατατίλλουσα. τὸ ο καὶ ε εἰς ω μέγα κιρνᾶται. αἰαῖ ἔρως : δακνομένη ὑπὸ τοῦ ἔρωτος ἀπέστρεψε τὸν λόγον πρὸς αὐτόν.

2 55 ἀνιαρὲ δὲ ἀντὶ τοῦ ἀνιαροποιέ. βδέλλα : αἱ βδέλλαι καὶ ἐν λίμναις γίνονται καὶ ἐν ποταμοῖς, προσαγόμεναι δὲ τῇ σαρκὶ τὸ αἷμα ἐκθηλάζουσιν.

2 56a εἴρηται δὲ παρὰ τὸ βδάλλειν, ὅ ἐστιν ἀμέλγειν· Νίκανδρος (Al. 262)· ‘ἠὲ σύγε βδήλαιο νέον γλάγος.‘ ὡς λιμνῆτις ἅπαν ἐκ βδέλλα : ὡς λιμναία βδέλλα, παρὰ τὸ βδάλλειν καὶ οἷον ἐξαμέλγειν τὸ αἷμα· τὸ γὰρ ἀμέλγειν Ἀττικοὶ βδάλλειν λέγουσι.

2 58 σαύραν : διαλγοῦσα καὶ θυμουμένη τὸ διὰ τῆς σαύρας ποτὸν 〈εἰς τὸ〉 αὔριον ὑπισχνεῖται. ἔστι δὲ αὕτη δύσκερκος. ἀποκτανθεῖσα δὲ καὶ ξηρανθεῖσα καὶ τριβεῖσα σὺν ἀλφίτῳ ἐν ποτῷ δίδοται. μεμύθευται γοῦν, ὡς καὶ τοῦτο τῶν φίλτρων ἐστὶν ἕν. νῦν δὲ λαβοῖσα : καὶ νῦν λαβοῦσα ταῦτα τὰ φάρμακα πίεσον καὶ κρύψον ὑπὸ τὴν αὐτοῦ φλιὰν καὶ λέγε ἐφαπλοῦσα περὶ τῶν Δέλφιδος ἀχέων. [5]

2 59-62b θρόνα : Θεσσαλοὶ μὲν τὰ πεποικιλμένα ζῷα, Κύπριοι δὲ τὰ ἀνθινὰ ἱμάτια, Αἰτωλοὶ δὲ τὰ φάρμακα, ὥς φησι Κλείταρχος (glossographus, cf. Mueller Script. rer. Alex. Magni 74). KEA θρόνα δὲ τὰ φάρμακα ὑπὸ τῶν Αἰτωλῶν, Ὅμηρος (X 441) δὲ τὰ ῥόδα παρὰ τὸ ἄνω θορεῖν ἐκ τῆς γῆς.

2 59-62d θρόνα τὰ θραύοντα τὸν νοῦν ἢ τὰ θροῦν ποιοῦντα ἐν τῷ νοΐ. E m A ἀπόμαξον : γράφεται ἀπόμορξον · ἀπόκρυψον .

2 59-62e .. ὑπόκρυψον 〈...〉 ἀπὸ τῶν μασσόντων· τοῦ διύγρου γὰρ συστραφέντος πάντα μάσσει. K καθυπέρτερον : καθυπέρτερον τῆς παστάδος κρύψον τὰ φάρμακα.

2 59-62f EA φλιᾶς : γράφεται φιλία ς , τουτέστιν· ἃ πρὸς φιλίαν καὶ ἄκοντα τὸν Δέλφιν ἑλκύσει.

2 59-62g KEA ἇς ἔτι καὶ νῦν : ἕως ἔτι ἐνδέχεται καταδεθῆναι αὐτόν.

2 59-62i 〈 ἐπιφθύζουσα : 〉 ἐπιπτύουσα, ἐπᾴδουσα ἡσύχως. E g τίς μοι κακὸν ἄγαγε 〈τοῦτο 〉 : ὡς πολλῶν ὄντων τῶν περὶ αὐτὴν κακῶν.

2 65 EA ἧν θ ’ ἁ τωὐβούλοιο : ἄρχεται διηγεῖσθαι, ὅπως ἐνέπεσεν εἰς τὸν ἔρωτα.

2 66-68a φησὶ δὲ οὕτως· ἦλθεν ἡ τοῦ Εὐβούλου θυγάτηρ Ἀναξὼ κανηφοροῦσα τῇ Ἀρτέμιδι καὶ KEA πομπὴν ἐπαγομένη τῇ θεῷ. αὐτὴ δὲ παρακληθεῖσα ὑπὸ φίλης ἐπὶ θέαν τῆς πομπῆς ἦλθε, φησί, καὶ ἰδοῦσα τὸν Δέλφιν ἠράσθη αὐτοῦ. εἰώθασι γὰρ τῇ Ἀρτέμιδι κανηφορεῖν αἱ μέλλουσαι γαμεῖσθαι ἐπὶ ἀφοσιώσει τῆς παρθενίας, μὴ νεμεσηθῶσιν ὑπ’ αὐτῆς. κανηφόρος : τὰ μυστήρια ταῦτα Ἀθήνησι πολιτεύονται. [5]

2 66-68b ἐκανηρόρουν δὲ τῇ Ἀρτέμιδι αἱ ὥραν ἔχουσαι γάμου ὥσπερ ἀπολογούμεναι περὶ τῆς παρθενίας τῇ θεῷ, ἵνα μὴ ὀργισθῇ αὐταῖς μελλούσαις τὸ λοιπὸν φθείρεσθαι. καὶ παρὰ Μενάνδρῳ (fgm. 40 Kock Com. att. fgm. III 15) αἱ κυΐσκουσαι ἐπικαλοῦνται τὴν Ἄρτεμιν ἀξιοῦσθαι συγγνώμης, ὅτι διεκορήθησαν. τῇ δὴ πόκα πολλὰ μὲν ἄλλα : ἐν τῇ πομπῇ, φησίν, ἄλλα τε θηρία ἐπόμπευσε καὶ λέαινα. [5]

2 66-68[d] 〈 θηρία πομπεύεσκε : 〉 ἐπεὶ κυνηγέτις ἡ Ἄρτεμις. ἡ μακαρῖτις : ὡς μετηλλαχυίας τὸν βίον ἤδη.

2 70-72b κατεύξατο : ὥρκισε. φησὶ δὲ ὅτι προετράπην ὑπὸ τροφοῦ εἰς θέαν ἐλθεῖν τῆς πομπῆς, καὶ οὕτω συμβέβηκεν ἰδεῖν με τὸν Δέλφιν. ἁ μεγάλοιτος : ἡ μεγάλως δυστυχής.

2 70-72c οἶτος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ πᾶν τὸ δεινόν, ἐν ᾧ 〈οἳ〉 ᾄδεται. μεγάλοιτος οὖν ἡ μεγάλως ἀθλία καὶ δυστυχής. τοῦτο δέ φησι, διότι ἐπείσθη προελθεῖν ἐπὶ τὴν θέαν. 〈 κἀμφιστειλαμένα : 〉 καὶ ἀμφιστειλαμένη, περιστειλαμένη, ἀντὶ τοῦ ἀναλαβομένη, ὅ ἐστι ζωσαμένη.

2 74b ξυστίδα : τινὲς περιβόλαιον λεπτὸν ... λινοῦν, ᾧ χρῶνται οἱ ἁρματηλάται· εἴρηται δὲ ἀπὸ τοῦ ξύεσθαι. K ξυστίδα : τινὲς περιβόλαιον λεπτὸν ἀπὸ τοῦ τὸν χνοῦν ἀπεξύσθαι· KUEA ἤ, ὡς ἕτεροι, ἀπὸ τοῦ ξύειν τὸν χρῶτα.

2 74d UEA ἤδη δ ’ εὖσα : ἤδη δὲ οὖσα κατὰ μέσον τῆς ὁδοῦ, ᾗ καὶ ὅπου τὰ Λύκωνος —γράφεται εἰς τὰ Λύκωνος —, προσληπτέον δὲ τὰ οἰκήματα.

2 76b 〈 ἤδη δ ’ εὖσα : 〉 οὖσα κατὰ τὴν μέσην ὁδόν. 〈 ᾇ τὰ Λύκωνος : 〉 λείπει οἰκήματα. K g 〈 ἑλιχρύσοιο : 〉 εἶδος φυτοῦ, οὗ τὸ ἄνθος χρυσοειδές.

2 80 ὡς ἀπὸ γυμνασίοιο καλόν : ὑγιεινὸν γάρ ἐστιν ἡ παλαίστρα. πόνον δὲ νῦν τὴν ἐν τῇ παλαίστρᾳ γυμνασίαν. KUEA 〈 θυμὸς ἰάφθη : 〉 εἰς ἔρωτα αὐτοῦ ἦλθον ἤτοι ἐλιποψύχησα λίαν.

2 82[b] 〈 θυμὸς ἰάφθη : 〉 ἐπέφθη, ἐβλάβη, ἀνήφθη, συνεστάλη. 〈 τὸ δὲ κάλλος ἐτάκετο : 〉 ἤγουν ὠχρὰ γέγονα, οἷον οὐδὲ μικρὰν διάγνωσιν εἶχον τῆς πομπῆς ἢ τέρψιν.

2 85a ἐξαλάπαξε : γράφεται ἐξεσάλαξε ν , ἵν’ ᾖ ἐξέσεισε, K διέφθειρεν. ἐξαλάπαξε : διέσυρεν, ἐκτὸς φροντίδος καὶ γνώμης ἐποίησε.

2 85c λάπαθα παρὰ τοῖς Ἀττικοῖς τὰ κενώματα καὶ λάπαθος βοτάνη, ἣ κενωτική ἐστιν. θάψῳ : χλωρὸς ἢ ξανθός.

2 88a θάψος δέ ἐστιν εἶδος ξύλου, ὃ καλεῖται σκυθάριον, ὥς φησι Σαπφώ (fgm. 167 Bergk Poet. lyr. gr. III 4 138). τούτῳ δὲ τὰ ἔρια βάπτουσι. τινὲς τὸ Σκυθικὸν ξύλον. Ἀσκληπιάδης δὲ φυτόν τι χλωρόν, ὅθεν καὶ τὴν θαψίαν πρὸς τὰ ὑπώπια· βάπτεσθαι δὲ ἐκ ταύτης τὰ κροκοειδῆ. πολλάκι θάψῳ : χλωρὸς ἢ ξανθός. [5]

2 88b θάψος γάρ ἐστι ξύλον τι, ὃ καλεῖται καὶ Σκυθικὸν ξύλον, ὥς φησι καὶ Σαπφώ (v. sch. a.). τούτῳ δὲ τὰ ἔρια βάπτουσι καὶ ποιοῦσι μήλινα καὶ τὰς τρίχας ξανθίζουσιν. ἔστι δὲ τὸ παρ’ ἡμῖν λεγόμενον χρυσόξυλον. 〈 ἔρρευν : 〉 ἔπιπτον· τὸ ε καὶ ο Δωρικῶς εἰς ευ . [5]

2 90-92[a] 〈 ἧς : 〉 Αἰολικὸν τὸ ς ἀντὶ τοῦ ν . καὶ ἐς τίνος οὐκ ἐπέρασα : πανταχοῦ ἀπελθοῦσα, φησί, καὶ πάσης ἐπαοιδῆς τυχοῦσα ὅμως οὐκ ἐκουφιζόμην τοῦ ἔρωτος, ἀλλ’ εἷρπεν ὁ χρόνος, ἐγὼ δ’ οὐδὲν εὕρισκον ἴαμα.

2 90-92c ἅτις ἐπῇδεν : ἥτις ἐπῳδὰς ποιεῖν οἶδεν. ἐπῳδὴ λέγεται καὶ ἡ γοητεία, ὅτι τὸ αὐτὸ πολλάκις ἡ γοητεύουσα λέγει. ἀλ λ ’ ἧς οὐδέν : ἀλλ’ οὐκ ἦν οὐδὲ τοῦτο τοῦ ἔρωτος ἀπαλλάττον με· ὁ δὲ χρόνο ς , ἤγουν ὁ καιρὸς τοῦ ἔρωτος, παρήρχετο.

2 90-92[e] 〈 ἀλ λ ’ ἧς οὐδὲν ἐλαφρόν : 〉 παροιμία ἐπὶ τῶν ζητούντων τι καὶ μὴ εὑρισκομένων. E g χοὔτω τᾷ δούλᾳ : καὶ τὸ τελευταῖον, φησίν, ὡς οὐδὲν ἦν παραμύθιον, ἐξεῖπον τὸν ἀληθῆ λόγον τῇ δούλῃ, ὅτι με ὁ ἔρως πολλὰ βαρύνει.

2 95* ὑπερβατὸν κατὰ διακοπὴν λέξεως· ἔστι δ’ ὅτε κατὰ διακοπὴν ἐννοίας γίνεται τοιοῦτον σχῆμα. E g ἀλλὰ μολοῖσα : ἐξελθοῦσα, φησίν, ἐπὶ τὴν παλαίστραν τήρησον αὐτόν.

2 99 φράζεο : συνεχῶς ἐπικαλεῖται τὴν Σελήνην ἢ ὡς συνεργὸν πρὸς τὰς μαγείας ἢ ὡς καὶ αὐτὴν ἐρασθεῖσαν Ἐνδυμίωνος. κἠπεί κά νιν : καὶ ἐπειδὰν αὐτὸν μόνον ὄντα γνῷς, ἡσυχῇ νεῦσον [αὐτόν].

2 100a

KU g E g ἥσυχα : Μουνάτιος παρώξυνε τὸ ἥσυχα, ἵν᾽ ᾖ ἀντὶ τοῦ ἡσύχως.

2 100b ἀγνοεῖ δέ, ὅτι τὰ εἰς α οὐδέτερα πληθυντικὰ ἀντὶ ἐπιρρημάτων πολλάκις λαμβάνονται, οἷον φίλα ἀντὶ τοῦ φίλως, ὅσια ἀντὶ τοῦ ὁσίως. K 〈 ἀφαγέο τᾷδε : 〉 ἀφηγοῦ τῆς ἐνταῦθα φερούσης ὁδοῦ.

2 101b τὸ τα δ ε , εἰ μὲν περισπᾶται, ἔστιν ἀντὶ τοῦ ἡγεμόνευε τῇδε καὶ ταύτῃ τῇ ὁδῷ· εἰ δὲ ὀξύνεται, ἀντὶ τοῦ ἀφηγοῦ καὶ διηγοῦ τάδε καὶ ταῦτα. UEA κοχύεσκε : κατεφέρετο καὶ δαψιλῶς ἔρρει ὁ ἱδρώς, ὁμοίως ταῖς καθύγροις δρόσοις.

2 107 κόχος γὰρ ὁ δαψιλὴς ῥοῦς· ὠνοματοπεπίηται δέ. οὐδέ τι φωνᾶσαι : οὐδὲ ἐπὶ τοσοῦτον ἀφεῖναι φωνὴν ἠδυνάμην συσχεθεῖσα τῷ φόβῳ, ἐφ᾽ ὅσον ἀφίησι τὰ ἀρτίτοκα βρέφη παρ᾽ ὕπνου ἐγειρόμενα καὶ καθελκόμενα καὶ γογγύζοντα καὶ καλοῦντα τὴν μητέρα.

2 108/109b κνυζεῦνται : κυρίως [ἐπὶ τῶν ὀρνέων, καταχρηστικῶς δὲ καὶ] ἐπὶ τῆς ἡσύχου καὶ ἀσήμου ὑλακῆς τῶν κυνῶν· καὶ ἐνταῦθα οὖν ἀντὶ τοῦ ἄναρθρον φωνὴν προΐενται ὀνειρώσσοντα. κνυζεῦνται : ἐν τῷ κοιμᾶσθαι ἄσημον καὶ ἄναρθρον ἀποτελοῦντα φωνήν· ὑποψιθυρίζουσι γὰρ φαντασιαζόμενα.

2 110a ἀλ λ ᾽ ἐπάγαν : οὕτως ὡς ἴση καὶ ὁμοία γενέσθαι τὸ ὅλον σῶμα δαγῦδι. 〈 ἐπάγην δαγῦδι〉 καλὸν χρόα : κρυστάλλῳ ὁμοία ἢ στήλῃ.

2 110c ὅμοιον τῷ παρ᾽ Ὁμήρῳ (P 434). ‘ἀλλ᾽ ὥστε στήλη μένει ἔμπεδον.‘ δαγῦδες Ἀφροδίτης ἀπεικονίσματα.

2 110e δαγῦδές εἰσι νύμφαι, αἷς κοσμοῦνται αἱ κόραι. ἀλ λ ᾽ ἐπάγην δαγῦδι : ἀντὶ τοῦ· ἄφωνος γέγονα ἀπὸ πάντων τῶν μερῶν ὁμοία δαγῦδι.

2 110f δαγὺς δέ ἐστι κοροκόσμιόν τι, ᾧ αἱ παρθένοι κοσμοῦνται. καλοῦσι δὲ αὐτὸ καὶ νύμφην· οἱ δὲ πλαγγόνα, ὡς Ἀττικοί, ἀπὸ τοῦ πεπλάσθαι ἐκ κηροῦ. δαγὺς κόσμος ἐγκάρδιός ἐστι γυναικῶν 〈. [5]

2 110g ..〉 καὶ στέφανος περισφίγγων τὴν κεφαλὴν καὶ πεπηγὼς ἐπ᾽ αὐτήν. ὥστοργος : εἰ μὲν κατὰ συναλοιφήν, προπαροξύτονον ὁ ἄστοργος, εἰ δὲ ἐν ἐπιθέσει, παροξυτόνως· τόργος γὰρ ὁ γύψ.

2 112 βέλτιον δὲ τὸ πρῶτον. τόσον ἔφθασας : τοσοῦτον προέφθασας, φησί, μεταπεμψαμένη με πρινὴ ἐμὲ ἐθελοντὶ ἐλθεῖν πρὸς σέ, ὅσον ἐγὼ προέλαβον Φιλῖνον τρέχων.

2 114-116a KUEA πράν : πρώην καὶ ἐκβολῇ τοῦ ω πρὴν καὶ τροπῇ τοῦ η εἰς α πράν.

2 114-116[b] U g E ἦλθον : ἦλθον γὰρ ἄν σοι καὶ μὴ μεταπεμψαμένῃ αὐτόματος, ναὶ τὸν γλυκὺν Ἔρωτα, διὰ ταύτης τῆς νυκτός.

2 118/119b ἢ τρίτος : ἀντὶ τοῦ β′ 〈ἢ γ′〉 ἦγον, ὥστε εἶναι τρίτος ἢ τέταρτος φίλος. ἢ τρίτος ἢ τέταρτος : εἰ γὰρ μὴ ἀπεστάλη πρός με, ἦλθον ἂν ἐγὼ πρότερος νυκτός, νὴ τὸν Ἔρωτα, ἢ τρίτος ἢ τέταρτος ὑπάρχων σοι προσφιλής· τουτέστιν ἐπεκώμασα ἄν σοι μετὰ δυοῖν ἢ τριῶν.

2 118/119c UEA 〈 ἢ τρίτος ἢ τέταρτος : 〉 τοῦτο εἶπεν ὁ Δέλφις, ὅτι ἤρα ἡ Σιμαίθα καὶ ἄλλων τινῶν.

2 118/119[d] U g E g μᾶλα μέν : Καλλίμαχος ἐν τῷ περὶ Λογάδων (fgm.

2 120a XXI Schneider, II 283) τὸν Διονύσου στέφανον ἐκ μήλων εἶναί φησιν, ἐξ ὧν καὶ τὸν Ἱππομένην λαβεῖν Ἀφροδίτης αἰK τησαμένης, ὡς Διόδωρος ὁ ποιητὴς ἐν Κορινθιακοῖς. μᾶλα μὲν ἐν κόλποισι 〈Διωνύσοιο 〉 : τὰ ἐράσμια καὶ ἔρωτος ποιητικά, καθὸ 〈τὰ〉 ὑπὸ Ἀφροδίτης διδόμενα τῷ Ἱππομένει μῆλα ἐκ τῶν Διονύσου, ταῦτα δὲ εἰς ἔρωτα τὴν Ἀταλάντην ἐκίνησεν, ὥς φησιν ὁ Φιλητᾶς (fgm.

2 120b 15 Bach, p. 50)· ‘τά οἵ ποτε Κύπρις ἑλοῖσα μῆλα Διωνύσου δῶκεν ἀπὸ κροτάφων.‘ λεύκαν Ἡρακλέος : 〈Ἐρατοσθένης ἐν πρώτῳ〉 Ὀλυμπιονικῶν φησι τὸν Ἡρακλέα κατελθόντα εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ᾍιδου εὑρεῖν παρὰ τῷ Ἀχέροντι φυομένην τὴν λεύκην καὶ αὐτῇ ἀναστέψασθαι, ἣν Ὅμηρος ἀχερωΐδα καλεῖ.

2 121b ἀνδρός ἐστι τεχνικοῦ καὶ συνετοῦ τὰ ἐρωτικὰ ἐρασθεῖσαν γυναῖκα μὴ παντελῶς ἀποστρέφεσθαι—ἡ γὰρ ἀμφὶ τούτων ἄγνοια μῖσος ἀπεργάζεται—, μεταδιδόναι δὲ καὶ λόγων μᾶλλον ἐνίοτε τῇ ἐρώσῃ καί πως ὑποφαίνειν αὐτὸν καὶ ἐρῶντα. ἐκ μὲν γὰρ τοῦ παντελῶς ἀποστρέφεσθαι κατάλυσίς ἐστι τοῦ ἔρωτος, ἐκ δὲ τοῦ δοκεῖν πως ἀντιφιλεῖν καὶ παρέχειν ἐλπίδα μίξεως τῇ ἐρώσῃ αὔξησις μᾶλλον τοῦ πόθου. τοιοῦτον δή τινα καὶ τὸν Δέλφιν δείκνυσιν ὁ ποιητικὸς λόγος ἡμῖν. λεύκαν Ἡρακλῆος : ἐστεφανωμένος δέ, φησί, λεύκῃ ἐληλύθει διὰ τόδε ταύτῃ, ὅτι ἀθλητικός τις ὁ Δέλφις ἐστὶν ὡς καὶ Ἡρακλῆς, ὃς τὸ φυτὸν ἀπὸ τοῦ ἐν ᾍιδου Ἀχέροντος εἰς ἀνθρώπους ἐκόμισε.

2 122 πορφυρέαισι περιζώστραισι : πορφυροῖς λημνίσκοις καὶ ταινίαις περιειλημένον ἔχων τὸν τῆς λεύκης στέφανον. καί μ ’ εἰ μέν κ ’ ἐδέχεσθε : καὶ εἰ μὲν ἐδέχεσθέ με, ἐκάθευδον ἂν ἀρκούμενος, καὶ εἰ μόνον τὸ στόμα σου ἐφίλησα—καὶ ταῦτα ἂν καλῶς εἶχεν ἡμῖν· ἄριστος γὰρ τῶν ἡλικιωτῶν εἰμι—εἰ δὲ ἀπώσασθε, τότε ἂν τὴν βίαν προσῆγον.

2 133/134a καὶ Λιπαραίου Ἡφαίστου : Λιπάρα τόπος· ἤγουν τοῦ ἐν Λιπάρᾳ πυρός. UEA λιπαραίου : λιπαραῖον πῦρ τὸ εὐτραφὲς καὶ μὴ λεπτόν, ἀλλ’ ἐκ περιουσίας.

2 133/134b ἢ ἄλλως· τὸ λιπαρᾶς ὕλης ἐπιδραξάμενον, οἷον δᾴδων καὶ ἑτέρων τοιούτων. U r EA ταχὺ χρώς : καὶ ταχέως ἐμαλάχθημεν χρωτισθέντες ἀλλήλοις.

2 140/141b 〈 χρὼς ἐπὶ χρωτί : 〉 σχῆμα σεμνότητος. U g E g καὶ τὰ πρόσωπα : τοῖς τε προσώποις ἐπυριάθημεν διὰ τὴν ἐνέργειαν.

2 140/141c UEA ἐπράχθη τὰ μέγιστα : τὰ τῆς συνουσίας.

2 143 ἴσως δὲ ταὐτό φησιν, ὅ, τι ἐψιθυρίσδομεν ἀδύ (v. 141). KUEA κοὐκέτι τῆνος : καὶ οὐδὲν ἀλλήλοις ἐνεκαλέσαμεν.

2 144-149 ἀλλ’ ἦλθέ μοι, φησί, περὶ τὸν ὄρθρον ἡ Μελιξοῦς καὶ Φιλίστας [ἡ] τῆς ἐμῆς αὐλητρίδος μήτηρ καὶ εἶπεν, ὅτι Δέλφις ἐρᾷ. εἶπέ μοι, φησίν, ἀγγείλασα τοῦτο μόνον, ὅτι ὁ Δέλφις ἐν συμποσίῳ τοῦ ἐρωμένου χάριν κυάθους συνεχῶς ἀκράτου ἐπεχεῖτο καὶ τὸ τέλος καταλιπὼν τὸ συμπόσιον ᾤχετο λέγων στεφανώσειν αὐτοῦ τὸν οἶκον.

2 150-153a εἰώθασι γὰρ οἱ ἐρῶντες KU 1.2 E 1.2 A 1.2 τῶν ἀγαπωμένων πλείονας κυάθους ἐπιχεῖσθαι. Καλλίμαχος (Ep.

2 150-153b 29, 1. 2 = Anth. Pal. XII 51, 1. 2)· ‘ἔγχει καὶ πάλιν εἰπὲ „Διοκλέοσ“. οὐδ’ Ἀχελῷος κείνου τῶν ἱερῶν αἰσθάνεται κυάθων.‘ τοῦ γὰρ ἐρωμένου ὁ ἐραστὴς τοῖς ἐκ τοῦ δαιτυμόνος διδομένοις ἀγγείοις οἶνον ἔβαλλεν.

2 150-153d ἀτὰρ τόσον αἰὲν ἔρωτος ἀκράτου : ὑπὸ ἔρωτος κατείχετο καὶ ἔφυγέ σε. ὄλπαν : ὄλπη κυρίως ἡ δερματίνη λήκυθος, δι’ ἧς ἔστιν ὀπιπεύεσθαι τὸ ἔλαιον.

2 156 νῦν δὲ ἴσως τὴν χαλκῆν φησι λήκυθον διὰ τὸ Δωρίδα φάναι ἀντὶ Κορινθίας· τὰ γὰρ Κορίνθια χαλκώματα διαβεβόηται. ἦ ῥ ’ οὐκ ἄλλο : ἐπαποροῦσα ἠθικῶς φησιν· ἆρα οὐκ ἔχει ἄλλο τι τερπνὸν καὶ ἡμῶν ἐπιλέλησται; καταθύσομαι : καταδήσω, φησίν, αὐτὸν τοῖς φαρμάκοις.

2 159/160 ἐὰν δέ τι λυπῇ με, κρούσει τὴν ᾍιδου πύλην, τουτέστι καταχειριοῦμαι αὐτόν. τοιαῦτά φημι δραστήρια φάρμακα ἔχειν, ὦ δέσποινα Σελήνη, μαθοῦσα παρά τινος ἀνδρὸς Ἀσσυρίου ἐμοὶ προσφιλοῦς.

2 161/162a K Ἀσσύριοι ἔθνος Περσικὸν ἀκριβὲς εἰς μαγείαν, μεταξὺ ὂν Τίγριδος καὶ Εὐφράτου.

2 161/162b μέχρι δὲ τούτων τῶν ποταμῶν Σαρδανάπαλος ἐξέτεινε τὰ ὅρια. Ἀσσυρίω , δέσποινα : παρὰ Ἀσσυρίου τινός φησι τὰ φάρμακα μεμαθηκέναι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2 161/162c δέσποιναν δὲ τὴν Σελήνην φησί. KUEA 〈 δέσποινα : 〉 ὦ Σελήνη.

2 161-162[d] 〈 Ἀσσυρίω παρὰ ξείνοιο : παρὰ〉 τοῦ φίλου μου Ἀσσυρίου. τρέπε πώλους : πρὸς δύσιν τρέπε.

2 163 δοκεῖ γὰρ ἐπέχειν τὴν Σελήνην διὰ τῆς μαγείας. εὐκήλοιο : τὸ ἑξῆς· ὦ ἀστέρες εὐκήλου Νυκτὸς κατὰ τὴν ἄντυγα ὀπαδοί.

2 165/166b ἐπὶ γὰρ ἅρματος ὀχεῖται ἡ Νύξ. —Εὐριπίδης (fgm. 114 Nauck Trag. gr. fgm. 2 393 )· ‘ὦ Νὺξ ἱερά, ὡς μακρὸν ἵππευμα διώκεις ἀστροειδέα νῶτα διφρεύουσα.‘ K τουτέστιν ἀκολουθοῦντες τῇ Νυκτὶ καὶ συμπαρεπόμενοι τῷ ἅρματι αὐτῆς.

2 165/166c ἄντυγα δὲ ἀπὸ μέρους τὸ ἅρμα φησί. λέγει δὲ τὴν Νύκτα ἐφ’ ἅρματος ὀχεῖσθαι. UEA ἀστέρες : ἐπιγενομένης τῆς νυκτὸς φαίνονται οἱ ἀστέρες.

2 165/166d ποιητικὸν δὲ τὸ τὴν Νύκτα ἐπὶ ἅρματος ὀχεῖσθαι καὶ παράγειν ἡνιοχοῦσαν. K 〈 κα τ ’ ἄντυγα : 〉 κατὰ τὴν περιφέρειαν τοῦ σφαιρώματος.

14 t Κυνίσκας Ἔρως Ἐν τούτῳ τῷ εἰδυλλίῳ διήγησίς ἐστι καταστάσεως ἐρωτικῆς καὶ Κυνίσκας ἔρωτος.

14 arg a ἡ γὰρ γυνὴ τοῦ Αἰσχίνου μᾶλλον προσέκειτο Λύκῳ τινί, καταφρονοῦσα τοῦ Αἰσχίνου. Θυωνίχου δέ τινος ἑταίρου προσιόντος αὐτῷ διὰ χρόνου δικαίως εἰσάγεται προλέγων ‘χαίρειν πολλά‘ ὁ Αἰσχίνης. τὰ πράγματα ἐν Σικελίᾳ. [5]

14 1a 〈 χαίρειν πολλά : 〉 χαίρειν φησὶ πολλὰ τὸν ἄνδρα Θυώνιχον· λείπει δὲ τῷ λόγῳ τὸ γένοιτο ἢ τὸ λέγω. 〈 ἀλλά τοι αὐτῷ : 〉 ἀλλὰ καὶ σοὶ γένοιτο χαίρειν.

14 2a τί δέ τοι τὸ μέλαμα : ὁ Θυώνιχος· οἶδα κἀγώ, ὅτι βραδέως ἥκω· τίς δέ σοι [ἡ φροντὶς] ἡ ἐρωμένη; φησίν. οὕτω γάρ φασι μέλημα τὴν ἐρωμένην. ἢ αὐτὴ ἡ φροντὶς μέλημα. τί δέ τοι τὸ μέλημα : τίς δέ σοι φροντὶς χάριν τοῦ μὴ ἰδεῖν με; μέλημα : ἢ ἡ βραδύτης ἢ ἡ φροντὶς ἢ ἡ ἐρωμένη.

14 2c κάλλιον δὲ τὸ ἡ φροντίς, ἵν’ ᾖ ἀπὸ τοῦ Θυωνίχου τὸ λεγόμενον· χρόνιος μὲν ἦλθον ἐγώ, σὺ δὲ περὶ τίνων φροντίζων ἔοικας εἶναι σύννους; οὐχ ὡς λῷστα δὲ ἀντὶ τοῦ οὐ κατὰ γνώμην.

14 3/4a KU g E g ἄρα λεπτός : λεπτὸς ἐγένου, ὦ Αἰσχίνη, καὶ ὁ μύσταξ οὗτος πολὺς ὢν ἐκ τῶν φροντίδων οὐκ ἔτυχεν ἐπιμελείας, ἔτι τε ἡ κόμη σου αὐχμηρὰ καὶ ἀτημέλητος.

14 3/4c ὁ πρίν, φησί, λεπτὸς μύσταξ διὰ τὸ συχνάκις κείρεσθαι νῦν πολὺς διὰ τὸ ἀτημέλητος εἶναι καὶ ἄκαρτος. κίκιννοι : ὁ νοῦς· κομῶντί σοι τὸ γένειον καὶ οἱ κίκιννοι κατάξηροί εἰσιν ὡς διὰ τὴν λύπην καὶ τὸ κείρεσθαι παραιτουμένῳ.

14 3/4d KU g EAP τοιοῦτος πρώαν τις : τοιοῦτός τις, φησίν, ἦλθεν Ἀθήνηθεν εἰς Σικελίαν πρὸ τούτου Πυθαγορικὸν ἐπαγγελλόμενος δόγμα.

14 5a φασὶ δὲ τοῦτο εἰς Πλάτωνα τὸν φιλόσοφον λέγεσθαι· ἀκούσαντα γὰρ αὐτῶν ἐν Ἰταλίᾳ διαβῆναι εἰς ΣιKUEAGP κελίαν συντευξόμενον Διονυσίῳ τῷ τυράννῳ. διαφέρουσι δὲ Πυθαγορικοὶ τῶν Πυθαγοριστῶν, ὅτι οἱ μὲν Πυθαγορικοὶ πᾶσαν φροντίδα ποιοῦνται τοῦ σώματος, οἱ δὲ Πυθαγορισταὶ περιεσταλμένῃ καὶ αὐχμηρᾷ διαίτῃ χρῶνται. τινὲς δὲ Πυθαγοριστὰς μὲν λέγουσι τοὺς ἀποδεχομένους τὰ Πυθαγόρου, μὴ ὄντας δὲ τῆς ἐκείνου δόξης, Πυθαγορικοὺς δὲ τοὺς τὰ Πυθαγόρου φρονοῦντας. ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι, ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε τὸν Πλάτωνα Πυθαγοριστὴν εἰρῆσθαι. [10]

14 5b τῶν Πυθαγόρου οἱ μὲν ἦσαν περὶ θεωρίαν καταγινόμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοί· οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοί· οἱ δὲ περὶ τὰ μαθήματα τὰ γεωμετρικὰ καὶ ἀστρονομικά, οἵπερ ἐκαλοῦντο μαθηματικοί. τούτων οὖν οἱ μὲν αὐτῷ συγγινόμενοι τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πυθαγόρᾳ ἐκαλοῦντο Πυθαγορικοί, οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι, οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγορισταί. Πυθαγορικὸς καὶ Πυθαγοριστὴς διαφέρει.

14 5c καὶ Πυθαγορικὸς μέν ἐστιν ὁ τοῦ Πυθαγόρου ἔχων τὰ ἰδιώματα καὶ τοὺς τρόπους, Πυθαγοριστὴς δὲ ὁ τὰ τοῦ Πυθαγόρου ποθῶν, πλὴν μὴ κατ' ἐκεῖνον ὢν μηδὲ τὰ ἐκείνου ποιῶν. ἐνταῦθα δὲ Πυθαγοριστήν τινες τὸν Σιμιχίδαν, ἕτεροι δὲ τὸν Πλάτωνά φασιν. ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε τὸν Πλάτωνα Πυθαγοριστὴν εἰρῆσθαι. ἕτεροι δὲ ἐναντία περὶ τοῦ Πυθαγορικοῦ καὶ Πυθαγοριστοῦ λέγουσιν. ἀνυπόδετος Ἰωνικόν, ἀνυπόδητος κοινόν, ἀνυπόδατος Δωρικόν.

14 7 ἐμοί, φησί, δοκεῖ, ὅτι ἐν τῷ λιμώττειν ἤρατο καὶ ἐπεθύμει ὀπτοῦ ἀλεύρου, ὅθεν καὶ ὠχρός τις ἦν. παίσδεις ὠγά θ ' ἔχων : Ἀττικῶς τὸ ἔχων παρέλκει.

14 8 ἀντὶ τοῦ· σὺ μὲν παίζεις, ἐμὲ δὲ ἡ Κυνίσκα ἐκμαίνει ἐρῶντα αὐτῆς. λανθάνω, φησίν, ἐμαυτὸν εἰς μανίαν ἐμπεσών.

14 9a εἶτα· διὰ μέσου θρίξ, ἤγουν ὀλίγον ἔσται τὸ μεταξὺ τοῦ μὴ πάντα με μανῆναι. λασῶ δὲ μανείς : ἔοικα δὲ λανθάνειν ἐμαυτὸν εἰς μανίαν πεσών· ὀλίγον δὲ τὸ μεταξύ ἐστι καὶ ἀκαριαῖον τοῦ πάντα με κατασχεθῆναι τῷ πάθει τῆς μανίας.

14 10a ἅσυχα ὀξύς : ἐκ τοῦ παραχρῆμα καὶ τοῦ σιωπᾶν ὀξυνόμενος. KUEAP ὅτι μανιώδης εἶ ἠρέμα· οἷον· ἔχεις τι καὶ ὀξύτητος, οὐ γὰρ πάντῃ σιωπηλὸς ὑπάρχεις.

14 10b K ὃς οὐ πάντῃ σιωπηλὸς ὑπάρχεις, ἀλλ' ἔχεις τι καὶ ὀξύτητος.

14 10c UEAP ἅσυχα ὀξύς : ἀντὶ τοῦ· αὐτὸς καθ' ἑαυτὸν ἔσω λυπούμενος καὶ τηκόμενος ἐν ἡσυχίᾳ καὶ μὴ ἐν φανερῷ.

14 11a κατὰ καιρόν : οὐκ ἀντὶ τοῦ· πάντα κατὰ τὸν καιρὸν τὸν ἐπιτήδειον θέλων πράττειν, ἀλλ' ὥσπερ ἐν ἑνὶ καιρῷ θέλων πάντα πράττειν. ὅμως δ ' εἶπον : ἀντὶ τοῦ· εἰπέ μοι, τί νεώτερον ἢ πρᾶγμα τὸ λυποῦν σε.

14 12-14a Ὡργεῖος κἠγών : διηγεῖται τὴν τῆς μανίας ὑπόθεσιν. KUEAGP τὸ δὲ Ἀργεῖός τινες ὄνομα κύριόν φασι καὶ οὐκ ἐθνικόν· τὸ δὲ Θεσσαλὸς ἄντικρυς ἐπίθετον· ἐπάγει γὰρ τὸ Ἆπις.

14 12-14b UEAGP 〈 καὶ ὁ Θεσσαλός : 〉 ἀντὶ τοῦ· ὁ ἐκ Θεσσαλίας Ἆπις καὶ ὁ στρατιώτης Κλεόνικος εἱστιῶντο τὴν εὐωχίαν σὺν ἐμοί, ἐμοῦ παρασκευάζοντος.

14 12-14d 〈 ἱπποδιώκτας : 〉 ὁ ἱππικός. K g U g E g τὸ δὲ θηλάζοντα παθητικὸν ἀντὶ τοῦ θηλαζόμενον.

14 15a K θηλάζοντά τε χοῖρον : οὐ τὸν θηλάζοντα παῖδα, ἀλλὰ τὸν θηλαζόμενον χοῖρον· ἐνεργητικὸν γάρ ἐστιν ἀντὶ τοῦ KUEAGP παθητικοῦ.

14 15c Βίβλινον οἶνον τὸν Θρᾳκικὸν ἀπὸ τόπου Θρᾴκης 〈ἔχοντος οἶνον〉 ἢ οὕτω καλουμένης τῆς ἀμπέλου. ὡς ἀπὸ λανῶ : ἀντὶ τοῦ· παλαιὸν μὲν ὄντα καὶ τεσσάρων ἐτῶν, ἀνίσχυρον δὲ πρὸς τὸ μὴ διοχλῆσαι τῷ πίνοντι· σχεδὸν γὰρ τότε ἐδόκει ἠντλῆσθαι τῆς ληνοῦ.

14 16c 〈 σχεδόν : 〉 παραχρῆμα καὶ πρὸ βραχέος. ἀφθόνως ὡς τὸν ἀπὸ ληνοῦ πλήθοντος ῥέοντα, οὗ διὰ τὸ θολερὸν ἔτι εἶναι καταφρονοῦμεν.

14 17 βολβός τις : εἶδος βοτάνης ὁμοίας κρομμύῳ Κολχικῷ. ἤδη δὲ προϊόντος : ἤδη δὲ προκόπτοντος τοῦ πότου ἔδοξεν ἡμῖν ἐπιχεῖσθαι ἄκρατον, ἤτοι λείβειν ἢ ἐπισπένδειν· οὕτω γὰρ εἰώθασι ποιεῖν ἐν τοῖς συμποσίοις, ἄκρατον λείβειν καὶ ὀνομάζειν τινὰς ἐρωμένους ἢ φίλους καὶ ἐναποχεῖν τῇ γῇ καὶ ἐπιφθέγγεσθαι τῶν φίλων τὰ ὀνόματα.

14 19a ὧτινος εἰπεῖν : ἔδει δέ, φησί, μόνον εἰπεῖν, οὗ χάριν ὁ οἶνος ἐχεῖτο.

14 20a ἄμμες μέν : ἡμεῖς μὲν ὀνομάζοντες ἕνα ἕκαστος ἐπίνομεν ὡς ἐδόκει. 〈 φωνεῦντες : 〉 ἀντὶ τοῦ ἐπιτάσσοντες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

14 21a ἣ δ ’ οὐδέν : ἡ δὲ ἐμοῦ παρόντος, φησίν, οὐδὲ ἀποκρίσεώς με ἠξίωσεν ἐν τῷ ἐπιχεῖσθαι αὐτῇ κυάθους. τίνα οὖν με δοκεῖς ἔχειν διάθεσιν τοιαῦτα πάσχοντα; KcUEAGP ἣ δ ’ οὐδέν : ἡ δὲ Κυνίσκα οὐκ ἔπινεν πλαως σύνταϊς παρόντος ἐμοῦ.

14 21c ἡ δὲ πίνουσα οὐκ ἐφώνει καθὼς ἡμεῖς παρόντος ἐμοῦ. UEAGP ἔπειτα, φησί, σιγώσης αὐτῆς ἔπαιξέ τις εἰς αὐτὴν εἰπών· οὐ φθεγξ ῆ ; λύκον εἶδε ς .

14 22/23a τοῦτο ἀμφιβόλως εἴρηται, ἢ ὅτι Λύκου ἐρᾷ ἡ Κυνίσκα, ἤ, καθὸ οἱ ὀφθέντες ἄφνω ὑπὸ λύκου δοκοῦσιν ἄφωνοι γίνεσθαι. οὗτος δὲ ἐνανKcUEAGP τίως εἶπεν, οὐχὶ ‘μήποτε ὑπὸ λύκου ὤφθησ‘, ἀλλά ‘μήτι λύκον εἶδεσ‘. λύκον εἶδες : παροιμία ἐπὶ τῶν βλεπόντων τι καὶ ὠχριώντων. [5]

14 22/23b KcU g E g ὡς σοφός , εἶπεν : ἡ Κυνίσκα, φησί, εἶπε πρὸς τὸν εἰς αὐτὴν παίξαντα ‘ὡς σοφός τις 〈εἶ〉 ‘, καὶ ἅμα ταῦτα εἰποῦσα καὶ μνησθεῖσα τοῦ Λύκου οὕτως ἐφλέγετο, ὡς καὶ λύχνον ἀπ’ αὐτῆς ἀνάψαι.

14 22/23c KKcUEAGP ἔπαιξέ τις πρὸς τὴν Κυνίσκαν· οὐ φθεγξ ῆ , οὐ λαλήσεις.

14 22/23d λύκον εἶδε ς , ὡς σοφὸς εἶπε ν , ἤγουν ὡς ὁ παροιμιαστὴς ἐφθέγξατο. εὐμαρέως κεν 〈ἀ π ’ αὐτᾶσ〉 καὶ λύχνον ἅψας : ὡς ἀπὸ τοῦ ἔρωτος κοκκίνη γέγονε κατὰ πρόσωπον, ὥστε Kc σχεδὸν φαίνεσθαι καὶ πῦρ ἀνᾶψαι ἐκ τοῦ προσώπου αὐτῆς.

14 24/25 Λάβα τῶ γείτονος υἱός : τοῦ Λύκου φησὶν ἐρᾶν τὴν Κυνίσκαν διὰ τὸ κάλλος τοῦ μείρακος· Λάβα δέ τινός φησιν ὑποβαλὼν ἀπὸ τοῦ λαμβάνεσθαι. 〈 κλύμενον : 〉 ἐξάκουστον.

14 27/28a χάμῖν τοῦτο : παρηκηκόειν, φησί, καὶ πρότερον περὶ τοῦ ἐρᾶν αὐτὴν τοῦ Λύκου, ἀλλ’ ἡσύχως, διόπερ οὐκ ἐξήτασα. μάταν εἰς ἄνδρα γενειῶν : τουτέστι ματαιοπώγων ὑπάρχων, οἷον μάτην ἀνδρὸς πώγωνα ἔχων διὰ τὸ μὴ χρῆσθαι τῇ ἀνδρὸς ῥώμῃ.

14 27/28[c] 〈 γενειῶν : 〉 γενειήτης γενόμενος. 〈 τὸν ἐμὸν Λύκον ᾆδεν : 〉 ἦθος εἰρωνικὸν ἀντὶ τοῦ· περὶ αὐτοῦ τοῦ Λύκου ᾖδεν.

14 31-33a Θεσσαλικόν τι μέλισμα : οἷον Αἰολικήν τινα ᾠδὴν ᾖδεν, ὢν κακόφρων, ὅτι ἐμνήσθη αὐτοῦ. ἐξαπίνας : ἡ δὲ Κυνίσκα, φησίν, ἀκούσασα οὕτως ἐξαπίνης ἔκλαιεν οἰκτρῶς ὡς κόρη τοῦ τῆς μητρὸς κόλπου ἐπιθυμήσασα.

14 34a τῆμος ἐγώ : ἰδὼν αὐτήν, φησί, κλαίουσαν, οἷόν με γινώσκεις ὀργίλον, πυγμῇ τὴν σιαγόνα αὐτῆς ἔπαισα· κόρρην γὰρ τὴν γνάθον καὶ σιαγόνα οἱ Ἀττικοί. 〈 κόρρας : 〉 τὰς σιαγόνας ἢ τὰς μήνιγγας.

14 35/36a 〈 κἄλλαν αὖθις : 〉 ἐκ δευτέρου ἔδωκα. ἀνείρυσα δὲ πέπλως : ἀντὶ τοῦ· ἀνέστειλα καὶ ἐγύμνωσα καὶ οὕτω δείρας ἐξέβαλον.

14 35/36b ἢ 〈 ἀνειρύσασα 〉 , ὅτι ἡ Κυνίσκα, φησί, πληγεῖσα καὶ τοὺς πέπλους ἀνελκύσασα ὠκέως διὰ τῶν θυρῶν ἀνέδραμεν. τήνῳ τὰ σὰ δάκρυα : τῷ Λύκῳ, φησί, τὰ ῥέοντά σου δάκρυα μῆλα πίπτει, τουτέστιν ἔρως καὶ ἐπιθυμία.

14 38 μήλοις γὰρ εἴκαζον τοὺς ἔρωτας διὰ τὴν περὶ αὐτὰ καλλονήν. KUEAGP χελιδών : οὐχ οὕτω τις χελιδὼν τροφὴν δοῦσα τοῖς νεοσσοῖς ταχέως πάλιν ὑπέστρεψεν ἐπὶ τῷ ἑτέραν κομίσαι, ὡς ἐκείνη λιποῦσα τὸν δίφρον διὰ τῶν θυρῶν ᾤχετο.

14 39-42a KUE m AGP μάστακα δ ’ οἷα τέκνοισι : τροφὴν ἢ ἁπαλὸν καὶ τρυφερὸν ἢ ζητήσεως ἄξιον ἐκ τοῦ μῶ τὸ ζητῶ—φέρει δηλονότι.

14 39-42b U g E g GP m μαλακᾶς : παρόσον αἱ γυναῖκες μαλακῶς κάθηνται, καθὼς ἐν Συρακουσίαις (XV 28).

14 39-42c KUEAGP ἀμφίθυρον καὶ δικλὶς ταὐτόν ἐστι, δηλοῖ δὲ τὸ δίθυρον.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

14 39-42d KU m E g AGP οὕτως 〈ὡσ〉 αὐτὴν τάχος οἱ πόδες ἔφερον.

14 39-42e UEAG 1.2 P εἶτα ἐπάγει τὴν παροιμίαν· ἔβακεν ταῦρος ἀ ν ’ ὕλα ν .

14 43a καὶ γὰρ τοῦτο τὸ φῦλον ὕλης δραξάμενον οὐκ ἐπιστρέφεται τῶν οἴκοι, οὐδ’ αὕτη ἐκδραμοῦσα ὑπέστρεψεν. UEAGP 〈 ἔβα〉 κεν ταῦρος ἀ ν ’ ὕλαν : παροιμία ἐστὶ διὰ τὸ τοὺς [Κεν] ταύρους ὕλης ἐπιλαμβανομένους ἀλήπτους εἶναι.

14 43b K εἴκατι , ταὶ δ ’ ὀκτώ : ψηφίζει τὰς ἡμέρας, ἀφ’ οὗ ἐξῆλθε, καί φησι· τοῦ ἐνεστηκότος μηνὸς ἑνδεκάτη ἐστίν, ἃς προσληπτέον ταῖς ἑτέραις, καὶ 〈ἔσονται νη′ ἡμέραι〉 .

14 44/45b σάμερον ἑνδεκάτα : ψηφίζει τὰς ἡμέρας ὁ Αἰσχίνης καὶ γίνονται ξ′ παρὰ β′. σάμερον ἑνδεκάτη : τοῦ ἐνισταμένου, φησί, μηνὸς σήμερον ἑνδεκάτη ἐστίν, ἃς καὶ αὐτάς, λέγω δὲ τὰς ἕνδεκα ἡμέρας, προσληπτέον ταῖς προτέραις, καὶ ἔσονται νη′ ἡμέραι.

14 46a οὐ δ ’ εἰ Θρᾳκιστί : οὐδὲ εἰ μεταμεμόρφωμαι, οἶδε. Θρᾳκιστὶ δὲ ἀντὶ τοῦ Ἰλλυριστί. Θρᾳκιστί : διὰ τὸ μὴ ἀπηντηκέναι μοι οὐκ οἶδεν εἰ μεταμεμόρφωμαι οὐδ’ εἰ Θρᾳκιστί, ἀντὶ τοῦ οὐδ’ εἰ Ἰλλυριστί, κέκαρμαι.

14 46b ἐκείροντο γὰρ οἱ Θρᾷκες διὰ τὸ μὴ ἐν πολέμοις διὰ τριχῶν ἁλοῦσθαι ἢ κενὸν ἔχειν βάρος αὐτάς. Λύκος νῦν πάντα : Λύκος αὐτῇ πάντα ἐστίν, ὥστε καὶ νυκτὸς αὐτῷ τὴν θύραν ἀνεῷχθαι.

14 48/49a λόγω : ἡμεῖς δὲ παρ’ αὐτῇ οὐδ’ ἐν ἀριθμῷ ἐσμεν, ὥσπερ οὐδὲ οἱ Μεγαρεῖς ὑπὸ τῆς Πυθίας ἐλέχθησαν εἶναί τινος ἄξιοι λόγου. ἱστορεῖ γὰρ Δεινίας (fgm. 7 Mueller Fgm. hist. gr. III 25), ὅτι οἱ Μεγαρεῖς φρονηματισθέντες ποτέ, ὅτι κράτιστοι τῶν Ἑλλήνων εἰσίν, ἐπύθοντο τοῦ θεοῦ, τίνες κρείττονες τυγχάνοιεν. ὁ δὲ ἔφη (Orac. gr. 178 Hendess Diss. phil. Hal. 4, 1880, 92 )· Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον, ἵπποι Θρηΐκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες, ἀνδρῶν δ’ οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης, ἀλλ’ ἔτι καὶ τῶν εἰσιν ἀμείνονες, οἳ τὰ μεσηγύ Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου, Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο· ὑμεῖς δ’, ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι οὔτε δυωδέκατοι, οὔτ’ ἐν λόγῳ οὔτ’ ἐν ἀριθμῷ. παρὰ τὸ ἐν τῷ χρησμῷ· Μεγαρεῖς οὔτε τρίτοι οὔτε τέταρτοι. [15]

14 48/49b UE καὶ εἰ μὲν καταφρονήσαιμι αὐτῆς, δεόντως ἄν μοι προχωροίη.

14 50 KU g E g GP g νῦν δὲ πόθεν : τοῦτο τὸ ἀγαθὸν ἐλλιπές.

14 51 τὸ δὲ μῦς · παροιμία ἐστί ‘μῦς γευόμενος πίσσησ‘. λέγεται δὲ ἐπὶ τῶν εἰς ἀηδὲς πρᾶγμα ἐμπεσόντων καὶ δυσδιεξιτήτως ἀπαλλασσομένων. ὥσπερ γὰρ ὁ μῦς ὁ πίσσης γευόμενος ἐνειληθεὶς KUEAGP κρατεῖται καὶ ζῶν τιμωρεῖται, οὕτω, φησί, κἀγώ, οὐχ ὅτι παρακμάζον ἔχω τὸ πάθος, ἀλλ’ ὅτι ἀρχὴν αὐτοῦ λαμβάνω. πλὴν Σῖμος : πλὴν οἶδα, ὅτι Σῖμος ἡλικιώτης μου ἐκστρατεύσας ὑγιὴς ἀπὸ τοῦ ἔρωτος ἐπανῆλθεν. [5]

14 53/54 ὑπόχαλκον δὲ λέγει τὴν ἀσπίδα, ἐπεί ἐστιν ὑπὸ τῷ χαλκῷ· 〈λέγεται δὲ καὶ ἐπίχαλκο ς , 〉 τουτέστιν ἐφ’ ἑαυτῆς ἔχουσα τὸν χαλκόν. ἐκ δὲ τούτου τὴν στρατείαν δηλοῖ. Πτολεμαῖος : παραινεῖ αὐτῷ ὁ Θυώνιχος πλεῖν εἰς Ἀλεξάνδρειαν πρὸς τὸν βασιλέα Φιλάδελφον μισθοφοροῦντα παρ’ αὐτῷ. [5]

14 64 οὐ δεῖ δὲ ὀχληρὸν εἶναι αἰτοῦντα. κατὰ δεξιόν : ὥστε, φησίν, εἴ σοι ἀρέσκει ἐμπορποῦσθαι τὸ ἱμάτιον κατὰ τὸν δεξιὸν ὦμον καὶ ὑπομένειν δύνασαι βεβηκὼς ἀμφοτέροις τοῖς ποσὶ προσφερόμενον πολέμῳ ὁπλίτην, ὡς τάχος ἄπιθι εἰς Αἴγυπτον.

14 65-70b ἀπὸ κροτάφων : ταχέως ἔπεισι τὸ γῆρας ἡμῶν τοῖς κροτάφοις, καὶ αἱ πολιαὶ ἀεὶ καθέρπουσιν ἀπ’ αὐτῶν ἐφεξῆς μέχρι τῶν γενείων. διὸ δεῖ τι ποιεῖν, ἕως γόνυ χλωρό ν , ἀντὶ τοῦ ἕως ἀκμάζομεν. ποιεῖν τι δεῖ ἕως ἀκμάζομεν.

14 65-70c ἀφαυρὰ γὰρ τὰ τῶν γερόντων, ἰσχυρὰ δὲ καὶ ἔνικμα τὰ τῶν νέων. Συρακόσιαι ἢ Ἀδωνιάζουσαι Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Συρακόσιαι ἢ Ἀδωνιάζουσαι.

15 arg ὑποτίθεται δέ τινας Συρακοσίας τὸ γένος παρεπιδημούσας ἐν Ἀλεξανδρείᾳ καὶ κατὰ σύνταξιν ἐπὶ θέαν ἐξιούσας τῆς πομπῆς τοῦ κοσμηθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς Φιλαδέλφου γυναικός. ἔρχεται δὲ Γοργὼ πρὸς Πραξινόαν καὶ παραλαβοῦσα αὐτὴν ἐξέρχεται ἐπὶ τὴν θέαν. παρέπλασε δὲ τὸ ποιημάτιον ἐκ τῶν παρὰ Σώφρονι Ἴσθμια Θεωμένων (cf. Kaibel Com. gr. fgm. I 1, 155) καὶ κεχωρισμένον ἐστὶ τοῦ ποιητικοῦ προσώπου. ἔθος δὲ εἶχον οἱ κατ’ Ἀλεξάνδρειαν ἐν τοῖς Ἀδωνίοις διακοσμήσαντες τὰ εἴδωλα τοῦ Ἀδώνιδος μετὰ τῶν νομιζομένων ἐπὶ τὴν θάλασσαν κομίζειν. αἱ δὲ Συρακόσιαι ἐξελθοῦσαι τῶν οἴκων θαυμάζουσι τὸν ὄχλον καὶ ὅσα ἐν τῷ ὄχλῳ. διαγράφει δὲ ὁ Θεόκριτος ἐπιδημήσας ἐν Ἀλεξανδρείᾳ, χαριζόμενος τῇ βασιλίδι, τόν τε σκυλμὸν καὶ βιασμὸν τῶν ἀνδρῶν καὶ ᾄδουσάν τινα καὶ τὴν πολυτέλειαν τῆς Ἀρσινόης δι’ ᾠδῆς ἀπαγγέλλουσαν. ἐνδοῖ : ἀντὶ τοῦ ἔνδον. [15]

15 1a ἔστι τοπικὸν ἐπίρρημα ὡς τὸ Μεγαροῖ, Πυθοῖ. ἀντιπίπτει δὲ τούτοις τὸ οἴκοι. KUEAGP ἡ Γοργὼ δέ φησι πρὸς τὴν θεράπαιναν ὅτι ‘ἔνδον ἐστὶν ἡ Πραξινόα;‘ πρὸς ἣν ἡ δούλη ‘ὡς χρονία‘, λέγει, ‘Γοργὼ φίλη‘ ἀντὶ τοῦ ὡς διὰ χρόνου.

15 1b εἶτα μικρὸν διαστήσασα ἐπάγει ‘ἐνδοῖ‘ ἀντὶ τοῦ ἔνδον. 〈 ποτίκρανον : 〉 προσκεφαλίδα. [5]

15 4/5 ἀλεμάτω : ἤγουν τῆς ἐπιπόνου. μόλις πρὸς ὑμᾶς ἐσώθην ἀπὸ τοῦ ὄχλου καὶ τῶν ἁρμάτων. κρηπῖδες : πανταχοῦ κεκρηπιδωμένοι ἄνδρες· λέγει δὲ τοὺς ἐν τῇ πόλει στρατιώτας.

15 6/7 ἡ δὲ ὁδὸς πολλή. ἑκαστέρω δὲ ἀντὶ τοῦ πορρω〈τέρω〉. ταῦ θ ’ ὁ πάραρος : ἡ Πραξινόα ταῦτά φησι περὶ τοῦ ἰδίου ἀνδρός, ὅτι μακρὰν ἐμισθώσατο τὴν οἰκίαν.

15 8a πάραρος δὲ ὁ παρηρμένος τὴν γνώμην. πάραρος : ἀνάρμοστος, ὁ ἀχρήσιμος καὶ μάταιος ἐκ μεταφορᾶς τῶν παρηόρων ἵππων, οἵτινες οὐ τῷ ζυγῷ χρησιμεύουσιν.

15 9 ἰλεὸς δὲ ὁ φωλεὸς ἀπὸ τοῦ τὰ ἑρπετὰ ἐνειλεῖσθαι ἐν αὐτῷ. φθονερὸν δὲ ἀντὶ τοῦ φιλόνεικον.

15 10 K πρὸς τὸ τέκνον ταῦτα.

15 13b ἀπφῦν : οὕτως τὸν πατέρα καλοῦσιν, ἤδη δὲ ἀπὸ τούτου καὶ τὸν πρεσβύτην. KUEAGP ἀπφῦς δὲ ὁ πατήρ, ἀφ’ οὗ οἱονεί τις πέφυκε· λέγεται ὑποκοριστικῶς.

15 13c K ναὶ τὰν πότνιαν : ναὶ μὰ τὴν θεόν, ναὶ μὰ τὴν Κόρην.

15 14 εὖ δὲ τὸ τὰς Συρακοσίας ταύτην ὀμνύναι· φασὶ γὰρ τὸν Δία τῇ Περσεφόνῃ τὴν Σικελίαν δωρήσασθαι. KUEAGP ἀπφῦς μὰν τῆνος : .

15 15-17a .. ἡ Πραξινόα φησὶ τὸν ἄνδρα μεμφομένη. ὁ ἀπφῦς οὖν, φησίν, ὡς λόγῳ εἰπεῖν, τρισκαιδεκάπηχυς ὑπάρχων ἀνήρ, ὅτε ἠγόραζε πρώην ἐν τῇ πανηγύρει νίτρον καὶ φῦκος, ἅλας ἀγοράσας ἤνεγκεν ἡμῖν ὡς νίτρον [ἅλας] αὐτῷ δεδωκότος τοῦ πωλοῦντος. διὸ ἐπισκώπτει αὐτοῦ τὸ μέγεθος καὶ τὴν ἄνοιαν. ἀπὸ σκανᾶς : σκηνὴ λέγεται, παρόσον ἐν ταῖς πανηγύρεσι σκηνὰς ἐποίουν οἱ πωλοῦντες. [5]

15 18-20a χῷμός : ἡ Γοργὼ ἐπὶ τοῖς ὁμοίοις μεμφομένη τὸν οἰκεῖον ἄνδρα φησί· καὶ ὁ ἐμὸς ἀνὴρ Διοκλείδας ἑπτὰ δραχμῶν ἠγόρασε 〈πέντε〉 ποκάρια γεγηρακότων προβάτων. KUEAGP οὐκ ἔρια, ἀλλ’ ἔργον ἐ π ’ ἔργῳ διὰ τὸ δὶς αὐτὰ πλύνεσθαι.

15 18-20b κυνάδας δὲ οἷον κύνεια, τραχέα. ἀλ λ ’ ἴθι τὠμπέχονον : τὸ περιβόλαιον, τὸ ἱμάτιον.

15 21a K καὶ τὰν περονατρίδα : τὸ πέπλον καὶ ἔνδυμα 〈.

15 21b ..〉 ὅπερ πρῶτον ὑπεζώννυντο ὡς αἱ Μακεδονίτιδες. εἴρηται δὲ ἀπὸ τοῦ περονᾶσθαι καὶ τῆς ἐπωμίδος ἐπιλαμβάνεσθαι. βᾶμες : ἐς τὰ πλούσια βασίλεια πορευθῶμεν τοῦ Πτολεμαίου.

15 25 ὧν εἶδες δὲ καὶ ὧν εἶπας ἀντὶ τοῦ· ἐξ ὧν εἶδες καὶ ἐξ ὧν ἐθεάσω, ἐκ τούτων διηγήσαιο ἂν τῷ μὴ θεασαμένῳ. Εὐνόα , αἶρε τὸ νᾶμα : ἡ Πραξινόα φησὶ πρὸς τὴν δούλην ἐν ἤθει· ὦ Εὐνόα, ἄρασα τὸ νᾶμα ὡς καὶ πρώην ἐς μέσον αὐτὸ θέ ς .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

15 27-29a θέλει δὲ εἰπεῖν· μὴ ἀμελῶς εἰς τὸ μέσον αὐτὸ θήσεις. 〈 αἰνόθρυπτε : 〉 κενόδοξε, ἐπὶ κακοῖς.

15 27-29 〈 ἅ δ ’ εἰς νᾶμα φέρει : 〉 ἀντὶ τοῦ· ἴδε εἰς ποῖον ἀγγεῖον τὸ νᾶμα φέρει. ὁκοῖα θεοῖς : ἀντὶ τοῦ· εἴτε καλῶς εἴτε κακῶς. [30]

15 33 〈 κλὰξ 〉 ἡ κλεὶς Δωρικῶς. τὸ καταπτυχές : τὸ δίπτυχον ἐμπερόνημα καὶ διπλοῦν.

15 34 λέγοι δ’ ἂν τὴν διπλοΐδα, ἣν Ὅμηρός φησι ‘δίπλακα μαρμαρέην‘ (Γ 126). κατέβα τοι : ἀντὶ τοῦ· διὰ πόσου σοι ἀπὸ τοῦ ἱστοῦ καθηρέθη [καὶ] οἷον ἐξυφάνθη; ἀ φ ’ ἱστῶ : [ἢ] διὰ πόσης ἐξόδου κέκοπται ἀπὸ τοῦ ἱστοῦ; καθαροῦ μνᾶν : πλέον ἠνάλωσα, φησίν, [ἢ] δυοῖν μνῶν καθαροῦ ἀργυρίου.

15 38/39a τοῦτό κα εἶπας : τοῦτο ἀληθὲς εἶπας, ὅτι κατὰ γνώμην μοι ἐξυφάνθη. εἶτα ἀντιστρέφει τὸν λόγον πρὸς τὴν θεράπαιναν. KUEAGP καὶ τὰν θολίαν : καὶ τὸ σκιάδειον εὐκόσμως ἐπίθες.

15 38/39b εἴρηται δὲ ἀπὸ τοῦ θόλῳ ἐοικέναι. οἱ δὲ Ἀττικοὶ τὸ σκιάδειον σκίρον καλοῦσι. Μορμώ , δάκνει ἵππος : ἀπέστρεψε πάλιν τὸν λόγον πρὸς τὸ παιδίον 〈τὸ〉 κλαῖον.

15 40b Μορμώ : εἰς κατάπληξιν τοῦτο ἔταττον, ὅθεν καὶ τὰ προσωπεῖα μορμολύκεια ἔλεγον. [ ἵππο ς ] Μορμώ : Λάμια βασίλισσα Λαιστρυγόνων ἡ καὶ Γελλὼ λεγομένη δυστυχοῦσα περὶ τὰ ἑαυτῆς τέκνα ὡς ἀποθνήσκοντα ἤθελε καὶ τὰ λειπόμενα φονεύειν.

15 40c UEAGP πολλά τοι ὦ Πτολεμαῖε : τὸν Φιλάδελφον λέγει.

15 46 KUEAP τὸ δὲ ἐξ οὗ ἐν ἀθανάτοις ὁ τεκὼν ἀντὶ τοῦ· ἐξ οὗ ὁ πατήρ σου ἀπεθεώθη, ὁ Σωτὴρ Πτολεμαῖος, ὅς ἦν πατὴρ Φιλαδέλφου.

15 48-50a Αἰγυπτιστί : πρὸς τοῖς ἄλλοις σου καλοῖς ἔργοις καὶ τοῦτο. οὐκέτι γὰρ κακοῦργός τις λυμαίνεται τὸν παριόντα ἐξαπατήσας Αἰγυπτιστί· ἠπάτων γὰρ πολυπείρως παίζοντες κακὸν παίγνιον 〈οἱ Αἰγύπτιοι〉. KUEAGP 〈 Αἰγυπτιστί : 〉 παραλογισμοῖς Αἰγυπτιακοῖς.

15 48-50b ἀπατηλοὶ γὰρ οἱ Αἰγύπτιοι, ὡς καὶ Αἰσχύλος (fgm. 373 Nauck Trag. gr. fgm. 2 110) φησί· ‘δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.‘ κεκροτημένοι : ἀντὶ τοῦ διερραπισμένοι, ἐθάδες πανούργων ἔργων.

15 48-50c ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ κεκροτημένου χαλκοῦ. καὶ Σοφοκλῆς (fgm.

15 48-50d 827 Nauck Trag. gr. fgm. 2 324 )· ‘πάνσοφον κρότημα, Λαέρτου γόνος.‘ 〈 ἀλλάλοις ὁμαλοί : 〉 εἰς μίαν συμβουλὴν ὄντες.

15 51 ἡδίστα Γοργώ : ἀντὶ τοῦ· ὦ γλυκεῖά μοι Γοργώ, τί ἄρα ἡμῖν ἔσται; εὐλαβοῦνται γὰρ θεασάμεναι τοὺς πολεμικοὺς ἵππους πομπεύοντας. φίλε : τοῦτο πρός τινα τῶν ἐπιβεβηκότων τοῖς ἵπποις φησὶν ἐν τῷ πλήθει.

15 53* 〈 κυνοθαρσής : 〉 ἀναίσχυντος. διαχρησεῖται τὸν ἄγοντα : διαφθερεῖ τὸν ἱπποκόμον ἢ τὸν ἡνίοχον.

15 57/58 τοὶ δ ’ ἔβαν : οἱ δὲ ἵπποι κεχωρήκασιν εἰς ὃν ἔδει τόπον. τὸ δὲ καὐτὰ συναγείρομαι ἀντὶ τοῦ· ἀνακτῶμαι ἐμαυτὴν ἀπὸ τῆς ταραχῆς. ψυχρὸν δὲ ὄφιν λέγει τὸν ψυχροποιόν. ἐξ αὐλᾶς , ὦ μᾶτερ : ἡ Γοργώ φησι πρὸς γραῦν τινα· λέγε ἡμῖν, ὦ μῆτερ, εὐμαρὲς εἰσελθεῖν; ἡ δέ φησι· πειράθητε καὶ εἰσελεύσεσθε εἰς τὴν τῶν βασιλείων αὐλήν.

15 60-62b ὦ μήτηρ : ἡ Γοργώ φησι πρός τινα πρεσβῦτιν ὡς ἐκ τῆς αὐλῆς καὶ τῶν βασιλείων ἐρχομένην· ἆρα ἔστιν ἡμῖν εὐκόλως εἰσελθεῖν; ἡ δέ φησι· πειράθητε καὶ εἰσελεύσεσθε· οἱ γὰρ Ἀχαιοὶ πειραθέντες εἰσῆλθον εἰς τὴν Ἴλιον. χρησμὼς ἁ πρεσβῦτις : ἡ Γοργώ φησιν, ὅτι χρησμοὺς ἀποφοιβάσασα ἡ γραῦς ἀπῆλθεν.

15 64 πάντα γυναῖκες ἴσαντι : 〈ἴσασι,〉 ὅπως ὁ Ζεὺς τῇ Ἥρᾳ λάθρα συνῆλθεν. Ὅμηρος (Ξ 296)· ‘εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντο τοκῆασ‘. Ἀριστοκλῆς (fgm. 5 Mueller Fgm. hist. gr. IV 330) δὲ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐν τῷ περὶ τῶν Ἑρμιόνης ἱερῶν ἰδιωτέρως KUEAGP ἱστορεῖ περὶ τοῦ Διὸς καὶ [τοῦ τῆς] Ἥρας γάμου. τὸν γὰρ Δία μυθολογεῖται ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. βουλόμενος δὲ ἀφανὴς γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς τὴν ὄψιν μεταβάλλει εἰς κόκκυγα καὶ καθέζεται εἰς ὄρος, ὃ πρῶτον μὲν Θόρναξ ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. τὸν δὲ Δία χειμῶνα δεινὸν ποιῆσαι τῇ ἡμέρᾳ ἐκείνῃ· τὴν δὲ Ἥραν πορευομένην μόνην ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ καθέζεσθαι εἰς αὐτό, ὅπου νῦν ἐστιν ἱερὸν Ἥρας τελείας. τὸν δὲ κόκκυγα ἰδόντα καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς πεφρικότα καὶ ῥιγῶντα ὑπὸ τοῦ χειμῶνος. τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. τῆς δὲ τὴν μίξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα αὐτὴν ποιήσασθαι. καὶ παρ' Ἀργείοις δέ, οἳ μέγιστα τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν, τὸ [δὲ] ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν [τῷ] θρόνῳ τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ κόκκυξ. Εὐτυχίδος : εἰκὸς τὴν Εὐτυχίδα Γοργοῦς εἶναι θεράπαιναν. [20]

15 68 ἀπρὶξ ἔχε : ἀντὶ τοῦ ἐμπεφυκότως, ὥστε μὴ διαπρῖσαι τὴν συμφυΐαν. κεἰς ὥρας : ἀντὶ τοῦ· καὶ εἰσαεὶ ἐν καλῷ εἴης περιστέλλων καὶ τημελούμενος ἡμῶν.

15 76/77a ἄγ', ὦ δειλαία, βιάζου καὶ σὺ καὶ ὤθει, ὥστε σε εἰσελθεῖν. ἔπειτα εἰσελθούσης αὐτῆς φησι· κάλλισ τ' , ἐνδοῖ πᾶσα ι . ὁ τὰν νυὸν εἶ π ' ἀποκλάξας : ὡς παροιμίας οὔσης.

15 76/77b ἀποκλείσας τὴν νύμφην τις ‘καλῶς τά γε ἔνδον ἡμῖν ἔχει‘ φησί· διὸ καὶ ἡ Γοργὼ οὕτως ἐπεφώνησεν. θεῶν περονάματα : ἢ ἔργα θεῶν ἢ φορεῖσθαι ὑπὸ θεῶν ἄξια.

15 80 ἔριθοι : ἢ ὑπουργοὶ ἢ ἐριουργοί. ὡς ἔτυ μ ' ἑστάκαντι : ἀντὶ τοῦ· ὡς ζῶντά εἰσι καὶ οὐχ ὡς ἐνυφαντά.

15 86a ὁ τριφίλατος : ὁ πολυφίλητος ὡς καὶ παρ' Ὁμήρῳ (Θ 488) ‘ἀσπασίη τρίλλιστοσ‘. ἢ ὅτι ὑπὸ τριῶν ἐφιλήθη· Διός, Ἀφροδίτης καὶ Περσεφόνης. 〈 κἠν Ἀχέροντι : 〉 ἐν ᾄδῃ· παύσασ θ ' ὦ δύστανοι : παύσασθε, φησίν, ὦ ἐπίπονοι, ἄπειρα λαλοῦσαι.

15 87/88 τοῦτο δέ φησί τις παρεπόμενος καὶ ἀγανακτῶν ἐπὶ τῇ ἄγαν αὐτῶν ἀδολεσχίᾳ. διὸ καὶ ἐπιτιμᾷ αὐταῖς ὡς τὰ κατὰ μέρος τῶν εἰκόνων ἀνερευνώσαις. εἶτα πρὸς ἑαυτὸν ἐπιστρέφων· τρυγόνες διαφθεροῦσι Δωρίζουσαι πάντα. τὸ γὰρ πλατυάσδοισαι τοιοῦτόν ἐστιν, ὅτι πλατυστομοῦσιν οἱ Δωριεῖς τὸ α πλεονάζοντες· ἐκκναισεῦντι δὲ ἀντὶ τοῦ διαφθεροῦσιν. 〈 μᾶ : 〉 ἀγανάκτησις Συρακουσίων τὸ μᾶ. [5]

15 89* L g U g E g 〈 πασάμενος : 〉 κτησάμενος δούλους.

15 90 U g E g Κορίνθιαι εἰμές : Κορινθίων γὰρ ἄποικοί εἰσιν οἱ Συρακόσιοι· Κορίνθιος δὲ καὶ ὁ Βελλεροφόντης.

15 91/92a KUEA Πελοποννασιστί : τὴν γὰρ Πελοπόννησον ᾤκισαν οἱ Δωριεῖς οἱ σὺν Ἡρακλείδαις.

15 94/95a μὴ φυῇ , Μελιτῶδες : ἀντὶ τοῦ· μηδεὶς γένοιτο, ὦ Περσεφόνη, ἄλλος ἡμῶν κύριος. Μελιτώδη δὲ τὴν Περσεφόνην φησὶ κατ' ἀντίφρασιν ὡς καὶ Κόρην 〈ἢ〉 διὰ τὸ τὰς ἱερείας αὐτῆς καὶ τῆς Δήμητρος μελίσσας λέγεσθαι. 〈 Μελιτῶδες : 〉 ὦ Περσεφόνη.

15 94/95b κατὰ ἀντίφρασιν· πολλὰ γὰρ τὰ ἐν Ἅιδῃ πικρά. διὰ μέσου ἐπιφώνημα. κενεὰν ἀπομάξῃς : μή μοι κενὸν τὸ μέτρον ἀποψήσῃς.

15 97 ἡ τῆς Ἀργείας θυγάτηρ : ἄδηλον, τίς ἡ ποιήτρια αὕτη· ἔνιοι δὲ Ἀργείας αὐτήν φασιν εἶναι θυγατέρα ὁμώνυμον τῇ μητρί, εἶναι δ' ἐκείνην Σικυωνίαν. δέσποι ν ' ἃ Γολγώς : πόλις Κύπρου ὠνομασμένη ἀπὸ Γολγοῦ τοῦ Ἀδώνιδος καὶ Ἀφροδίτης.

15 100/101

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰδάλιον δὲ πόλις Κύπρου. Ἔρυξ δὲ πόλις Σικελίας ἀπὸ Ἔρυκος τοῦ Βούτου καὶ Ἀφροδίτης. τὸ δὲ χρυσῷ παίζου ς ' Ἀφροδίτα τοιοῦτον ἴσως ἐστίν, ὅτι οἱ ἐρῶντες χρυσῷ πείθουσι τὸ ἐρώμενον. μηνὶ δυωδεκάτῳ : τινὲς δι' ἑξαμήνου φασὶν ἀνέρχεσθαι τὸν Ἄδωνιν.

15 103b μαλακαί : μαλακούς φησιν ἔχειν πόδας τὰς Ὥρας, ἐπεὶ τὸ ἔαρ μαλακόν. τὴν γὰρ μητέρα Βερενίκην καὶ τὸν πατέρα Πτολεμαῖον ἀπεθέωσεν.

15 106/107 Βερενίκην δὲ λέγει τὴν τοῦ Σωτῆρος γυναῖκα, μητέρα δὲ τοῦ Φιλαδέλφου 〈καὶ〉 Ἀρσινόης. τὶν δὲ χαριζομένα : [ἀντὶ τοῦ] σοί, φησίν, ἀντιχαριζομένη 〈ἡ〉 τῆς Βερενίκης θυγάτηρ Ἀρσινόη, ἀνθ' ὧν ἀθάνατον ἐποίησας τὴν μητέρα.

15 109-111b 〈 ἀτιτάλλει : 〉 ἐπεὶ τὴν πρόβασιν εἰς αὔξησιν ποιεῖ. KUEA ἀτιτάλλω ἐκ τοῦ α στερητικοῦ μορίου καὶ τοῦ ταλάσσω τὸ κοπιῶ.

15 109-111[c] σημαίνει δὲ τὸ ἀναπαύω καὶ μὴ διὰ κόπου ταλαίνω. ἢ ἀπὸ τοῦ ᾄττω τὸ ὁρμῶ καὶ τοῦ ἅλλω τὸ πηδῶ, καὶ σημαίνει τὸ αὐξάνω. ὅσα δρυός : πάντα, φησί, τὰ ἀκρόδρυα παρατίθεται τῷ Ἀδώνιδι ἀπὸ παντοίας ἰδέας ὀπωρῶν.

15 112/113 εἰώθασι γὰρ ἐν τοῖς Ἀδωνίοις πυροὺς καὶ κριθὰς σπείρειν ἔν τισιν ὀστρακίοις καὶ 〈τοὺς〉 φυτευθέντας κήπους Ἀδωνείους προσαγορεύειν. χρύσε ι ' ἀλάβαστρα : ἀλάβαστρα σκεύη μύρων δεκτικά, πλαθάναι δέ, ἐν οἷς διαπλάττουσι τοὺς ἄρτους.

15 114-116a KUEAP τὸ δὲ ἄνθεα τὰ ἐπιπάσματα τῶν ἄρτων· λέγοι δ' ἂν τὰ σήσαμα.

15 114-116b KUEAGP ὅσσα τ ' ἀπὸ γλυκερῶ : ἀντὶ τοῦ πλακοῦντες διάφοροι.

15 117 KL m UEAP χλωραὶ δὲ σκιάδες : σκιάδες καὶ καλύβαι ἀνήθων αὐτῷ τῷ καρπῷ καταβριθόμεναι γεγόνασιν.

15 119 K οἱ δέ τε κῶροι : τὰς καλύβας, φησίν, ὑπερπέτονται οἱ Ἔρωτες ὡς οἱ νεοσσοὶ τῶν ἀηδόνων.

15 123 ὦ ἔβενος : τὴν λοιπὴν κόσμησιν τὴν βασιλικὴν θαυμάζει. αἰετοί : ὡς πεποικιλμένων ἀετῶν ἐλεφαντίνων καὶ βασταζόντων τὸν Γανυμήδην.

15 125/126a πορφύρεοι δὲ τάπητες : ὡς μαλακῶν ταπήτων ὑπεστρωμένων τῇ κλίνῃ τῆς Ἀφροδίτης· οὕς φησιν ὑπὸ τῆς Μιλήτου καὶ Σάμου ῥηθήσεσθαι μαλακωτέρους ὕπνου διὰ τὸ παρ' αὐτοῖς εἰς κάλλος τὰ στρώματα γίνεσθαι. ἁ Μίλατος : τὰ Μιλήσια καὶ Σάμια ἔρια.

15 125/126b τὴν δὲ κατὰ ἀναστρεπτέον· ἔστι γὰρ 'κατὰ τὴν Σάμον βόσκων'. 〈ἢ〉 οἷον καταβοσκόμενος καὶ κατανεμόμενος. τὸν ἄνδρα γαμβρὸν λέγει ὡς οἱ Αἰολεῖς.

15 130 τὸ φίλη μ ' ἔτι : τὸ τοῦ Ἀδώνιδος δηλαδή. οὐδέπω γὰρ κέκαρται τὰ γένεια, ὡς κεντῶσιν, ἀλλ' ἔτι χνοάζει. ἅμα δρόσῳ : ἀντὶ τοῦ ἅμα ἡμέρᾳ· τότε γὰρ πίπτει ἡ δρόσος ἐν τῇ γῇ.

15 133 οἰσεῦμες : ἐπὶ γὰρ τὴν θάλασσαν ἐκφέροντες τὸν Ἄδωνιν ἔρριπτον ἐπ' αὐτήν. βαρυμάνιος : βαρείας μανίας ἀναδεδεγμένος διὰ τὸ μὴ τυχεῖν τῶν ὅπλων.

15 139 εἴκατι : εἴκοσι παίδων. τῷ ἀρτίῳ ἀριθμῷ ἀποκέχρηται ὡς καὶ Σιμωνίδης (fgm. 49 Bergk Poet. lyr. gr. III 4 411). Ὅμηρος (Ω 496) ἐννεακαίδεκα λέγει. Δευκαλίωνες δὲ ἀντὶ τοῦ Δευκαλίδαι ἀπὸ Δευκαλίωνος, Θεσσαλοί· τούτων γὰρ ἐβασίλευσεν ὁ Δευκαλίων.

15 141 ἢ οἱ Λοκροί· Δευκαλίων γὰρ ἐν Κύνῳ τῆς Λοκρίδος ᾤκησεν. καὶ οἱ Πελασγοὶ οἱ τοῦ Ἄργους ἄκροι, τουτέστιν οἱ ἐξοχώτατοι.

15 142 UEAGP ἵλαθι : ἀντὶ τοῦ ἱλάσθητι κατὰ ἀποκοπήν, Δωρικῶς.

15 143b καὶ ἐς νέω : ἀντὶ τοῦ ἐς νέωτα, τουτέστιν εἰς ὥρας, εἰς νέον ἔτος. UEAGP 〈 ἐς νέω τ' : 〉 ἀντὶ τοῦ εἰς τὸ μέλλον.

15 143[c] U g E g ἡ Γοργὼ τὴν θήλειαν ἤγουν τὴν γυναῖκα.

15 147[a] καὶ ἐς οἶκον [ ἀνάριστο ς] : λείπει τὸ πορεύεσθαι. ἀνάριστος : ἤτοι ἄσιτος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

15 147[b] U g E g G χὠνὴρ ὄξος ἄγαν : ἀντὶ τοῦ ὀξύθυμος καὶ ἀκρόχολος.

15 148 UEAGP 〈 ἀφίκευ : 〉 ὑπόστρεψον.

15 149b καὶ ὑποστρέψας εὑρήσεις ἡμᾶς χαίροντας. U m E g Ἔπαινος Πτολεμαίου Τοῦτο τὸ εἰδύλλιον εἰς Πτολεμαῖον τὸν Φιλάδελφον γέγραπται· ὁ δὲ Φιλάδελφος Πτολεμαῖος Πτολεμαίου τοῦ Λάγου καὶ Βερενίκης ἦν παῖς.

17 arg a διὸ καὶ ἁμαρτάνει ὁ Μουνάτιος εἰς τοὺς χρόνους τοῦ Θεοκρίτου ἀναβιβάζων τὸν Φιλοπάτορα τοσούτου χρόνου μαχόμενος διαστήματι. τριῶν ὄντων τῶν Πτολεμαίων, πρώτου μὲν τοῦ Λάγου Πτολεμαίου, δευτέρου τοῦ Σωτῆρος, τρίτου τοῦ Φιλαδέλφου, περὶ τοῦ τρίτου ὁ λόγος. [5]

17 1-4a ἐκ Διὸς ἀρχώμεσθα : Ἀρατείᾳ κέχρηται εἰσβολῇ (Phaen. 1). ἐκ τοῦ Ὀρφέως (cf.

17 1-4b fgm. 46. 123 Abel, p. 167. 202) τὸ προοίμιον. πᾶν, φησί, ποίημα ὅταν γράφωμεν, ὑμνοῦμεν τὸν Δία ἐν πρώτοις καὶ πυμάτοις καὶ μέσοις· καὶ Πτολεμαίου οὖν μνησθῶμεν ἐν ἀρχῇ καὶ ἐν μέσῳ καὶ ἐν τέλει τοῦ ποιήματος.

17 8 οἱ γὰρ ὕμνοι καὶ θεῶν γέρας εἰσίν. Ἴδαν ἐς πολύδενδρον : ὥσπερ εἰς τὴν Ἴδην τὴν πολύδενδρον ὑλοτόμος ἐλθὼν ἔργου πολλοῦ προκειμένου σκοπεῖ πόθεν ἄρξεται, οὕτω δὴ κἀγὼ ἀπορῶ, πόθεν πρὸς ὕμνον εἰσβάλλω.

17 9-12a ἴδας δέ φασι πάντα τὰ ὑψηλὰ ὄρη ἀπὸ τοῦ KUEA ἀπ’ αὐτῶν δύνασθαι ἰδεῖν πάντα. ἐκ τούτου ὁ θεολόγος ἔλαβε τὴν εἰκόνα. [5]

17 9-12[b] θέλων γὰρ συγκρῖναι ἀρετὴν ἀρετῇ καὶ δεῖξαί τινα τῶν ἄλλων κρείττονα ἐν τῷ περὶ φιλοπτωχίας λόγῳ (Greg. Naz. Or. XIV 1 Mign. Patr. gr. 35, 1857, 860 A) ἀδυνατεῖ λέγων ὡς, καθάπερ E ἀνήρ τις εἰσελθὼν εἰς λειμῶνα ἀμηχανεῖ ποίου ἐφάψηται, οὕτω κἀγὼ ποίαν κρῖναι μείζονα ἀπορῶ. Λαγίδας Πτολεμαῖος : τὸν τοῦ Λάγου Πτολεμαῖόν φησιν, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου. [5]

17 14a KUEA 〈 Λαγίδας : 〉 ὁ υἱὸς τοῦ Λάγου ἤγουν ὁ Σωτήρ.

17 14[b] σημείωσαι, ὡς τὰ εἰς ος ἔχοντα τὴν εὐθεῖαν διὰ τοῦ ιδης ἔχουσι τὸ πατρωνυμικὸν ὡς Λᾶγος Λαγίδης. E g ὅκα φρεσίν : ἀντὶ τοῦ· ὅταν βουλεύσηται.

17 14c K τῆνον : τὸν Σωτῆρά φησι Πτολεμαῖον τὸν Λάγου, καθὸ ἐξεθεώθη ὑπὸ τοῦ υἱοῦ.

17 16/17 KUEA χαίρων υἱωνῶν : χαίρων ὁ Ἡρακλῆς ἐπὶ τοῖς τῶν ἐκγόνων υἱοῖς καὶ ἀπογόνοις ἀπαθανατισθεῖσιν.

17 23 ἀποτείνει δὲ τὸν λόγον εἴς τε τὸν μέγαν Ἀλέξανδρον καὶ εἰς τὸν Πτολεμαῖον· ἀμφότεροι γὰρ ἦσαν ἀφ’ Ἡρακλέους. θεοὶ νέποδες : οἷον μηκέτι ζῶντες μηδὲ κινεῖν UEA πόδα δυνάμενοι θεοὶ 〈νέποδες〉 ὠνομάσθησαν.

17 26 τὸ δὲ ἄμφω ἀντὶ τοῦ τοῖς δυσί, τῷ Πτολεμαίῳ καὶ τῷ Ἀλεξάνδρῳ. ἀνάλυσις τὸ σχῆμα κατὰ φιλοσόφους· ἀνάλυσις δέ ἐστιν ἀντεστραμμένη ἀπόδειξις τουτέστιν ἀνάπαλιν λύσις.

17 28 τῷ καὶ ἐπεὶ δαίτηθεν : τὸν Ἡρακλέα φησίν, ὃν ἐκ τῆς τῶν θεῶν εὐωχίας καθίστησιν εἰς τὸν εὔδιον τόπον Ἀλέξανδρος καὶ Πτολεμαῖος. ὑπωλένιόν τε : τὴν ὑπὸ τὴν μασχάλην οὖσαν.

17 31 κεχαραγμένον ὄζοις : τετραχυσμένον ὑπὸ τῶν κλάδων. γενειήταν : πωγωνίαν.

17 34 οἵα δ ’ ἐν πινυταῖσι : Βερενίκην λέγει τὴν Μάγα μὲν θυγατέρα, γυναῖκα δὲ Πτολεμαίου τοῦ Σωτῆρος. αὕτη ἐν ταῖς σώφροσι γυναιξὶν εὔδηλος ἦν. τᾷ μὲν Κύπρον ἔχοισα : ἡ Ἀφροδίτη, φησίν, αὐτῆς εἰς τὸν κόλπον ἀπεμάξατο τὰς χεῖρας, τουτέστιν ἐπαφρόδιτον ἐποίησεν αὐτήν· διὸ καὶ ἠγαπᾶτο ὑπὸ τοῦ ἀνδρός.

17 41

ἐπιτρέπει οἶκον ἅπαντα : ζῶν γὰρ ἔτι ὁ Σωτὴρ ἐκοινοποίησε τῷ Φιλαδέλφῳ τὴν βασιλείαν. 〈 τέκνα δ ' οὔπο τ ' ἐοικότα πατρί : 〉 γνωστὰ τὰ τέκνα ὅτι νόθα.

17 46 μεμέλητο : ἀντὶ τοῦ· ἐν ἐπιμελείᾳ καὶ φροντίδι ἦν. ἑὰς δ ' ἀπεδάσσαο τιμάς : ἀπεμερίσω, τὰς σαυτῆς τιμὰς ἀπένειμας αὐτῇ.

17 52 κούφας δὲ διδοῖ : κουφίζει ἡ Βερενίκη τῶν σφοδρῶν ἐρώτων. τοῦτο δὲ ποιεῖ, φησίν, ἐπεὶ ἡ Ἀφροδίτη ἀπαθανατίσασα αὐτὴν τῶν δυνάμεων καὶ τιμῶν ἐκοινοποίησεν αὐτῇ. Ἀργείαν εἶπε τὴν τοῦ Διομήδους μητέρα Δηϊπύλην, καθὰ ἐξ Ἄργους ἦν, Ἀδράστου θυγάτηρ.

17 53/54a ἦν δὲ καὶ 〈ἄλλη〉 ὀνοματικῶς Ἀργεία λεγομένη. KUEA Καλυδώνιον δέ φησι τὸν Διομήδην, ὅτι Τυδεὺς ἦν ἐκεῖθεν.

17 58/59 βρέφος νεογιλόν : ὅτι ὁ Φιλάδελφος ἐν Κῷ τῇ νήσῳ ἐγεννήθη ὑπὸ Βερενίκης. 〈 ἐβώσατο : 〉 ἐπεκαλέσατο.

17 60 K g U g E g βεβαρυμένα : ἡ γὰρ Βερενίκη ἐστὶ θυγάτηρ Ἀντιγόνης τῆς Κασσάνδρου τοῦ Ἀντιπάτρου ἀδελφοῦ.

17 64* 〈 ὀλόλυξεν : 〉 μετ' εὐχῆς ἐβόησεν. U g E g 〈ὡς τοῦ Φιλαδέλφου〉 ἐσπουδακότος περὶ τὴν ἐν τῷ Τριοπίῳ τῶν Δωριέων σύνοδον καὶ τὴν αὐτόθι δρωμένην πανήγυριν καὶ τὸν ἀγῶνα τὸν ἀγόμενον Ποσειδῶνι καὶ Νύμφαις.

17 68/69a KUEA ἐν δὲ μιᾷ τιμῇ Τρίοπον : Τρίοψ βασιλεὺς τῆς Κῶ, ἀφ' οὗ ἀκρωτήριον ὠνόμασται τῆς Κνίδου.

17 68/69[c] τρίοπτον : περίβλεπτον. UEA ἶσον Δωριέεσσι : ἡ τῶν Δωριέων πεντάπολις Λίνδος Ἰάλυσος Κάμιρος Κῶς Κνίδος.

17 68/69d ἄγεται δὲ κοινῇ ὑπὸ τῶν Δωριέων ἀγὼν ἐν Τριοπίῳ Νύμφαις Ποσειδῶνι Ἀπόλλωνι. καλεῖται δὲ Δώριος ὁ ἀγών, ὡς Ἀριστείδης (fgm. 23 Mueller Fgm. hist. gr. IV 324) φησίν. Τριόπιον δὲ ἀπὸ Τρίοπος τοῦ Ἄβαντος, ὡς ἐν τοῖς περὶ Κνιδίας Ἰάσων (fgm. 4 Mueller Arrian. ed. Duebner. 1846, App. 161) φησίν. καὶ Ῥήναιαν : Ῥήναια νῆσος παρακειμένη τῇ Δήλῳ, ἣν καὶ Δῆλόν φασι. [5]

17 70 τὴν δὲ Ῥήναιαν προσῆψε τῇ Δήλῳ Πολυκράτης ὁ Σαμίων βασιλεύς. 〈 χθαμαλὰ Αἴγυπτος : 〉 διὰ τὸ τρίγωνον· γύροθεν γὰρ βουνοῖς περιέχεται.

17 81 〈 ἔργα δαέντων : 〉 ἐπιστημόνων εἰς τὸ ἐργάζεσθαι πᾶν ἔργον, ἤτοι ἐργατῶν. ὁμοῦ πᾶσαι αἱ πόλεις τρισμύριαι τρισχίλιαι τριακόσιαι τριάκοντα τρεῖς.

17 82-84b τρεῖς μέν οἱ πολίων ἑκατοντάδε ς , τρεῖς δ ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι : δοιαὶ τριάδες —ἑξήκοντα, ἑνδεκάδες τρεῖς—ἐνενήκοντα τρεῖς· ὁμοῦ πᾶσαι τρισμύριαι τρισχίλιαι τριακόσιαι ἐνενήκοντα τρεῖς. 〈 φιλοπτολέμοισί τε Καρσί : 〉 ὅτι μισθοφόροι ἦσαν διηνεκῶς.

17 89 ἐξ οὗ παροιμία ‘τὸν ἐν Καρί τι ἀποφερόμενον‘ παρ' Ἀριστείδῃ ἐπὶ τῶν ἄνευ δεινοῦ λαμβανόντων τινά. 〈 τόσσον : 〉 ἤγουν πολὺ καὶ ἄπειρον.

17 96[a] U g E g 〈 ἐς ἀφνεὸν ἔρχεται οἶκον : 〉 ἤγουν εἰς τὸ βεστιάριον.

17 97 λαοὶ δ ' ἔργα : οἱ δὲ ὄχλοι περὶ τὰ ἔργα ἡσύχιοι γίνονται διὰ τὸ εἶναι ἐν εἰρήνῃ. 〈 πολυκήτεα : 〉 πολλὰ θηρία ἔχοντα.

17 98a K g Νεῖλον ἐπεμβάς : περὶ τῆς τοῦ Νείλου κλήσεως ἐν ἑνί που τῶν ὑπομνημάτων φασὶν εἰρηκέναι τινάς, Μιλησίους κτίσαντας τὴν Ναύκρατιν προσαγορεῦσαι τὸν κατ' Αἴγυπτον ποταμὸν Νεῖλον ἀπὸ τοῦ κτιστοῦ Νείλεω θεμένους τὴν προσUEA ηγορίαν. [5]

17 105 κτεατίζεται : καρποῦται ἀφόβως τὰ ἑαυτοῦ. KU g E g οὐ μάν : οὐ μὴν ἄχρηστός ἐστιν αὐτῷ ὁ χρυσὸς σεσωρευμένος, καθάπερ ἐπὶ τῶν ἀεὶ μογούντων μυρμήκων.

17 106/107

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐκεῖνοι γὰρ ἀεὶ σωρεύουσιν ὡς ἐλλείψοντος αὐτοῖς· ὃ δ’ ἀντιδίδωσι πᾶσι. περὶ δὲ τῶν μυρμήκων τῶν μεταλλευόντων χρυσὸν ἐν Ἰνδικοῖς πολλοὶ ἱστορήκασιν. 〈 σὺν ἄλλοισιν γεράεσσι : 〉 σὺν τοῖς ἄλλοις δώροις.

17 109 K g 〈 ἀέρι πᾳ κέκρυπται : 〉 ἐν σκότει κεκάλυπται.

17 121-123a μοῦνος δὲ προτέρων : οὗτος δὲ μόνος τῶν ἔκπαλαι θανόντων καὶ πρὸ μικροῦ τῇ μητρὶ καὶ τῷ πατρὶ ναοὺς ἔκτισεν. μοῦνος ὅδε προτέρων : οὗτος 〈μόνοσ〉 τῶν προτέρων καὶ τῶν ἑαυτοῦ πάντων προγόνων.

17 121-123c ἔτι θερμά : ἔτι θερμὴ ἡ σποδός. 〈 ναούς : 〉 ὅτι πολλοὺς ναοὺς ἱδρύσατο.

17 121-123d Κελίκιος δὲ ἐν τῷ περὶ Νέστορός [ἐποίησεν ὁ Φιλάδελφος] φησιν οὕτως· ‘ᾠκοδόμησε δὲ καὶ τῶν γονέων ἀμφοτέρων παμμεγέθη ναὸν καὶ ταῖς ἀδελφαῖς Ἀρσινόῃ καὶ Φιλωτέρᾳ 〈...〉‘. ἐν δ ’ αὐτούς : τοὺς γονεῖς.

17 128 αὐτός τ ’ ἰφθίμα τ ’ ἄλοχος : Πτολεμαίῳ τῷ Φιλαδέλφῳ συνῴκει πρότερον Ἀρσινόη ἡ Λυσιμάχου, ἀφ’ ἧς καὶ τοὺς παῖδας ἐγέννησε, Πτολεμαῖον καὶ Λυσίμαχον καὶ Βερενίκην. ἐπιβουλεύουσαν δὲ ταύτην εὑρὼν καὶ σὺν αὐτῇ Ἀμύνταν καὶ Χρύσιππον τὸν Ῥόδιον ἰατρόν, τούτους μὲν ἀνεῖλεν, αὐτὴν δὲ ἐξέπεμψεν εἰς Κοπτὸν τῆς Θηβαΐδος καὶ τὴν οἰκείαν ἀδελφὴν Ἀρσινόην ἔγημε καὶ εἰσεποιήσατο αὐτῇ τοὺς ἐκ τῆς προτέρας Ἀρσινόης γενηθέντας αὐτῷ παῖδας· αὐτὴ γὰρ ἡ Φιλάδελφος ἄτεκνος ἀπέθανεν. ὧδε καὶ ἀθανάτων : φέρει σύγκρισιν ἀπὸ τοῦ μείζονος, ὅτι οὐδὲν θαυμαστόν, εἰ εἶχε τὸν ἀδελφὸν αὐτῆς ἄνδρα, ἐπεὶ καὶ ἡ Ῥέα ἔτεκε τὴν Ἥραν καὶ τὸν Δία καὶ συνήφθησαν ἀλλήλοις.

17 131-134 EA Χάριτες Τοῦτο τὸ εἰδύλλιον γέγραπται εἰς Ἱέρωνα τὸν Ἱεροκλέους τὸν ἔσχατον Σικελίας τύραννον· κατέσχε δὲ τὴν ἀρχὴν στρατηγὸς ἀποδειχθεὶς ὑπὸ τῶν πολιτῶν καὶ φθείρας τὰς 〈τῶν πολεμίων〉 δυνάμεις, ὥστε τύραννον αὐτὸν ἀναγορευθῆναι.

16 arg KUEAP [μετὰ δὲ τοῦτον ἦρξεν Ἱερώνυμος ὁ Γέλωνος.] μηδὲν οὖν εἰληφὼς παρὰ τοῦ Ἱέρωνος ὁ Θεόκριτος διὰ τοῦτο τὸ εἰδύλλιον πεποίηκε καὶ Χάριτας αὐτὸ ὑπέγραψεν, ἐν ᾧ καὶ τὰ τοῦ Σιμωνίδου ἐμφαίνει κιβώτια. λέγουσι γὰρ ἐκεῖνον ἔχειν δύο κιβώτια, τὸ μὲν τῶν χαρίτων, τὸ δὲ τῶν διδόντων. ὅτε οὖν τις πρὸς αὐτὸν παρεγένετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν τὰ κιβώτια καὶ δεικνύειν αὐτὰ ἀνεῴξαντα. εὑρίσκετο οὖν τὸ μὲν τῶν χαρίτων κενόν, τὸ δὲ τῶν διδόντων πλῆρες· καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο. ἡμετέρας χάριτας : τὰ οἰκεῖα ποιήματα.

16 8 τὸ σκύζειν κυρίως ἐπὶ τοῦ λέοντος, ὅταν τὸ ἐπισκύνιον χαλάσῃ ὀργιζόμενος. λέγεται δὲ ἡ τῶν ὀφρύων κάθεσις ἐπισκύνιον, ὅτι τοῦτο ποιεῖ ὁ λέων, ὅταν κυσὶ κυκλωθῇ καὶ μέλλῃ πολεμεῖν αὐτοῖς. τωθάζοισαι : λοιδοροῦσαι.

16 9b ἀλιθίαν δὲ ἀντὶ τοῦ ματαίαν ὁδό ν . 〈ἀλιθίαν ὁδὸν〉 ἦνθον : ἤγουν ματαίαν ὁδὸν καὶ πεπλανημένην ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ.

16 10-12 ἐπὶ πυθμένι χηλοῦ : ἐν τῷ πυθμένι τοῦ κενοῦ μένουσι κιβωτίου, ὅπου αὐτῶν ἐστιν ἡ συνήθης καθέδρα, ἐγκαλυψάμεναι τὴν κεφαλήν, ψυχροῖς δὲ γόνασιν, ὅταν ἄπρακτοι γένωνται. 〈 τοιόσδε : 〉 οἷοι ἦσαν οἱ παλαιοί.

16 18 ἀπωτέρω ἢ γόνυ κνήμας : πορρωτέρω τὸ γόνυ τῆς κνήμης. παροιμία ἐστίν. τέθειται δὲ αὕτη ἐπὶ τῶν ἀγαπώντων ἑαυτοὺς καὶ λεγόντων προτιμοτέρους εἶναι [αὐτοὺς] τῶν ξένων· οἱ γὰρ πορρωτέρω οὐδὲν πρὸς ἡμᾶς εἰσιν. ἐνήλλακται δὲ ἡ παροιμία [εἰ λεχθήσεται χωρὶς ὑποδιαστολῆς]. ἔδει γὰρ οὕτως εἰπεῖν· πορρωτέρω κνήμη γόνυος. εἰ δὲ λεχθήσεται χωρὶς ὑποδιαστολῆς, οὐκ ἐνήλλακται. 〈 κλαίων : 〉 εἰώθασι γάρ πως αἱ τῆς περιχαρείας ὑπερβολαὶ πρὸς τὴν τῶν λεγομένων πίστιν ὀκνεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

16 33* U m πολλοὶ ἐν Ἀντιόχοιο δόμοις : ἀντὶ τοῦ ἄγαν πλούσιοι, ὥστε πολλοῖς παρέχειν τὴν τροφήν.

16 34/35a ἀλλ’ οὐδὲν ἤνυσεν ὁ πλοῦτος αὐτῶν πρὸς τὴν νῦν δόξαν, εἰ μὴ ὑπὸ Σιμωνίδου ὑμνήθησαν. [Ἀντίοχος δὲ βασιλεὺς Συρίας.] τὰ δὲ KUEA περὶ Ἀλεύαν τὸν Σίμου πάντα ἀνείλεκται Εὐφορίων (fgm. 54 Scheidweiler Diss. phil. Bonn. 1908, 49). ὁ δὲ Ἀντίοχος Ἐχεκρατίδου καὶ Δυσήριδος υἱὸς ἦν, ὥς φησι Σιμωνίδης (fgm. 34 Bergk Poet. lyr. gr. III 4 402). πενέσται : Θεόπομπός (fgm.

16 34/35b 119 b Grenfell—Hunt Hellen. Oxyrh.) φησι τοὺς δουλεύοντας· τῶν ἐλευθέρων πενέστας καλεῖσθαι παρὰ Θεσσαλοῖς ὡς παρὰ Λακεδαιμονίοις εἵλωτας. πολλοὶ δὲ Σκοπάδαισι : πολλοὺς δὲ μόσχους ἔσχον καὶ οἱ Σκοπάδαι, τουτέστι πολλὰς ἀγέλας.

16 36/37 ἐκ δὲ τούτου πολὺν πλοῦτον δηλοῖ. οἱ δὲ Σκοπάδαι Κραννώνιοι τὸ γένος· Κραννὼν δὲ πόλις Θεσσαλίας, ὅθεν Σκόπας ὁ Κραννώνιος Κρέοντος καὶ Ἐχεκρατείας υἱός. καὶ Σιμωνίδης ἐν Θρήνοις (fgm. 33 Bergk Poet. lyr. gr. III 4 401). Σκοπάδαι οὖν οἱ Θεσσαλοί, Κρεώνδας δὲ ὁ Σκόπας. ὁ Κήϊος : τὸν Σιμωνίδην φησί, παρόσον αὐτὸς τοῖς προειρημένοις ἐνδόξοις ἀνδράσι τῶν Θεσσαλῶν ἐπινικίους ἔγραψε καὶ θρήνους.

16 48* 〈 Λυκίων : 〉 σύμμαχοι 〈τῶν〉 Τρώων οἱ Λύκιοι. Κύκνον ἔγνω : Κύκνον φησὶ τὸν Ποσειδῶνος καὶ Καλύκης, τὸν ἀνῃρημένον ὑπὸ Ἀχιλλέως.

16 49 λευκὸς γὰρ ἦν τὴν χροιὰν ἐκ γενετῆς, ὥς φησιν Ἑλλάνικος (fgm. 31 Mueller Fgm. hist. gr. I 49). διὸ καὶ θῆλυν αὐτὸν εἶπεν ὁ Θεόκριτος [διὰ τὴν χροιάν] Ἡσίοδος (fgm. 119 Rzach ed. a. 1902 p. 363) δὲ τὴν κεφαλὴν ἔχειν αὐτόν φησι λευκήν· διὸ καὶ ταύτης τῆς κλήσεως ἔτυχεν. 〈 παρελθεῖν : 〉 ἀπατῆσαι καὶ ἀφελεῖν τι.

16 71/72[a] αἱ ὧραι ποιοῦσι τὰς ἡμέρας, αἱ ἡμέραι τὰς ἑβδομάδας, αἱ ἑβδομάδες τοὺς μῆνας καὶ οἱ μῆνες τοὺς χρόνους. οὔπω μῆνας ἄγων : οὔπω, φησίν, ὁ πᾶς διῆλθεν αἰών· ἔτι ἔσονται πολλοὶ νικηφόροι ποιητῶν χρείαν ἔχοντες.

16 71/72b ἐκ γὰρ τῶν ἵππων καὶ τῶν τροχῶν τοὺς ἱερονίκας δηλοῖ ἢ τροχὸν ἅρματος τὸν τοῦ ἡλίου λέγει, ἀντὶ τοῦ· πολλαὶ ἔσονται μεταβολαί. ἤδη νῦν Φοίνικες ὑ π ’ ἠελίῳ δύνοντι : τοὺς Καρχηδονίαν οἰκοῦντάς φησι Φοίνικας.

16 76a οὗτοι γὰρ συνεχῶς ἐπεστράτευσαν Συρακουσίοις, ὡς λέγεται καὶ παρὰ Πινδάρῳ (Pyth. I 73—75). οἱ δὲ Φοίνικες 〈οὗτοι〉 ἄποικοι Τυρίων. 〈 ὑ π ’ ἠελίῳ δύνοντι : 〉 εὑρίσκονται γὰρ καὶ ὑφ’ ἡλίῳ ἀνατέλλοντι· οὗτοι δέ εἰσιν ἄποικοι τῆς Φοινίκης τῆς ἀνατολικῆς.

16 76[b] Διδὼ γάρ τις ἔχουσα ἄνδρα Χετταῖον ὀνόματι καὶ ἐρασθεῖσά τινος Πυγμαλίωνος, τῇ συνεργείᾳ ταύτης πεE φόνευται ὁ Χετταῖος, καὶ διὰ τοῦτο φυγοῦσα ἐκ τῆς Φοινίκης τὴν Λιβύην κατέλαβε. κἀκεῖσε Ἰάρβας ὁ βασιλεὺς τῆς Λιβύης μὴ δεχόμενος ταύτην τὸ πρῶτον, ὕστερον πλανηθεὶς τόπον ὅσον περιέχει δέρας βοὸς ταύτῃ δέδωκε. καὶ οὕτως ἐκείνη τὴν νῦν Τούνισαν λεγομένην Φοινίκην ἔκτισεν ἀπὸ ταύτης· λαβοῦσαν τὸ ὄνομα. 〈 οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν ἐρρίγασιν : οἰκοῦντεσ〉 τὴν Τούνισαν, τὴν Φοινίκην τρέμουσι τοὺς Συρακουσίους.

16 77* ἢ ἐρρίγασι τὸ ἄκρον σφυρὸν ἤγουν τὴν Συράκουσαν. 〈 ἰτεΐνοισιν : 〉 διὰ τὸ ἐλαφρὸν ἐποίουν ἀπὸ ἰτέας τὰς ἀσπίδας.

16 81* 〈 ζώννυται : 〉 ὁπλίζεται· συνεκδοχικὸν ἀπὸ μέρους τὸ πᾶν ὡς τὸ ‘ἀσπιδιῶται‘ καὶ ‘εὐκνήμιδεσ‘. κούρη θ ’ ἥ : τὴν Δήμητράν φησι καὶ τὴν Περσεφόνην εἰληχέναι τὸ τῶν Ἐφυραίων ἄστυ οἷον τὰς Συρακούσας, παρόσον Κορινθίων εἰσὶν ἄποικοι οἱ Συρακούσιοι, ὡς Θουκυδίδης (VI 3, 2) φησίν.

16 83/84a KUEA Λυσιμελείας : λίμνη ἐν Συρακούσαις.

16 85

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐχθροὺς ἐκ νάσοιο : τοὺς Καρχηδονίους ἐκ τῆς Σικελίας. Σαρδόνιον κατὰ κῦμα : τὸ κατὰ τὴν νῆσον Σαρδώ, ὃ καλεῖται Σαρδῷον· διὰ τούτου γάρ ἐστιν ὁ εἰς Καρχηδόνα πλοῦς.

16 93a σκνιπαῖον : τὸν ὄψιον, τὸν βραδὺν ὁδίτην σπεύδειν ποιοῖεν. τὸ δὲ σκνιπαῖον ἢ παρὰ τὴν σκνῖπα ἢ παρὰ 〈τὸ σκνῖφοσ〉 τὸ κνέφας πεποίηται. σκνιπαῖον : σκνὶψ ζῷον βραδυκίνητον.

16 94-97a νειοὶ δ ’ ἐκπονέοιντο : τουτέστιν αἱ κεχερσωμέναι χῶραι νεάζοιντο πρὸς τὸν σπόρον, τουτέστιν ἀροτριοῖντο. ποιμένας ἐνδείους : ἡνίκα ὁ τέττιξ ἐπὶ τῶν ὑψηλῶν κλάδων ἠχεῖ κατὰ τὴν μεσημβρίαν τοὺς ποιμένας φυλασσόμενος.

16 94-97b ἐλάσαντες γὰρ οὗτοι ὑπὸ τὴν σκιὰν τὰ θρέμματα ἐν τῇ μεσημβρίᾳ θηρῶσι τοὺς τέττιγας. ἀράχνια δ ’ ἐς ὅπλα : τοῦτό φησιν, ὅτι μηδὲ γένοιτο τῷ Ἱέρωνι πολέμους ἔχειν συχνούς, ἀλλὰ κειμένων τῶν ὅπλων καὶ μὴ χρωμένων ἐν αὐτοῖς ἱστὸν αἱ ἀράχναι στήσαιντο.

16 94-97d τὸ δὲ διαστήσαιντο ἀντὶ τοῦ ὑφήνειαν. πόντου Σκυθικοῖο : τοῦ λεγομένου Εὐξείνου.

16 99/100b ἀσφάλτῳ δήσασα : Ἡρόδοτος (I 179) ἱστορεῖ, ὅτι ἀσφάλτῳ ἔδησεν ἡ Σεμίραμις τὸ τεῖχος ἀντὶ πηλοῦ. τὸ δὲ εἷς μὲν ἐγώ · ὁ ἐγκωμιάζων δηλονότι.

16 104/105a Ἐτεόκλειοι θυγατέρες : Ἐτεοκλείους θυγατέρας ἔφη τὰς Χάριτας διὰ τὸ Ἐτεοκλέα τὸν Κηφισοῦ πρῶτον ἀποθῦσαι Χάρισιν ἐν Ὀρχομενῷ τῷ Μινυείῳ. ἀπεχθόμενον δὲ αὐτὸν ἔφη ταῖς Θήβαις διὰ τὰ τεθρυλλημένα ἐπὶ Ἐργίνῳ τῷ Ὀρχομενίῳ.

16 104/105b οὗτος γὰρ ἀναιρεθέντος τοῦ πατρὸς αὐτοῦ Κλυμένου ὑπὸ Θηβαίων εἷλε τὰς Θήβας καὶ φόρους ἔταξεν, ἕως οὗ Ἡρακλῆς τοῦ δασμοῦ τοὺς Θηβαίους ἀπέλυσε μάχῃ νικήσας τοὺς Ὀρχομενίους. 〈 Μινύειον Ὀρχομενόν : 〉 δύο Ὀρχομενοί, ὁ μὲν Μινύειος ἐν Βοιωτίᾳ, ὁ δὲ πολύμηλος ἐν Ἀρκαδίᾳ. [5]

16 104/105c E g ἄκλητος μὲν ἐγὼ οὐκ ἂν ἐπέλθοιμι, καλούμενος δὲ μεθ’ ὑμῶν, ὦ Χάριτες, καὶ τῶν Μουσῶν πορεύσομαι θαρρῶν.

18 t Ἑλένης Ἐπιθαλάμιος Τοῦτο τὸ εἰδύλλιον ἐπιγράφεται Ἑλένης ἐπιθαλάμιος καὶ ἐν αὐτῷ τινα εἴληπται ἐκ τοῦ πρώτου Στησιχόρου Ἑλένης (fgm.

18 arg 31 Bergk Poet. lyr. gr. III 4 217). τῶν δὲ ἐπιθαλαμίων τινὰ μὲν ᾄδεται ἑσπέρας, ἃ λέγεται κατακοιμητικά, ἅτινα UEA ἕως μέσης νυκτὸς ᾄδουσι· τινὰ δὲ ὄρθρια, ἃ καὶ προσαγορεύεται διεγερτικά. ᾄδουσι δὲ τὸν ἐπιθαλάμιον αἱ παρθένοι πρὸ τοῦ θαλάμου, ἵνα τῆς παρθένου βιαζομένης ὑπὸ τοῦ ἀνδρὸς ἡ φωνὴ μὴ ἐξακούηται, λανθάνῃ δὲ κρυπτομένη διὰ τῆς τῶν παρθένων φωνῆς. 〈 κατεκλάγετο : 〉 ἐκληρώθη, ἤγουν ἐπὶ τὴν κλίνην τὴν ἰδίαν ἐν ἐξουσίᾳ ἔλαβεν. [5]

18 9a πρώϊζα : ἤγουν πρωϊνός, πρὸ τοῦ δέοντος. κατέδαρθες : τὸ θέμα καὶ δάρθω καὶ δαρθῶ.

18 16/17 ἐπέπταρεν ἐρχομένῳ τοι : ὄντως ἀγαθός σοι ἐφάνη οἰωνός, ὅτε ἐς Σπάρτην ἀπήρχου, ὅπου οἱ ἄλλοι ἀριστῆες. ἄμμες γὰρ πᾶσαι : ἀντὶ τοῦ· ἡμεῖς πᾶσαι καλαί ἐσμεν, εἰ μὴ παραβληθείημεν τῇ Ἑλένῃ.

18 22-25 ἥ γε μὴν νεολαία ἐστὶ κυρίως ὁ ἐκ νέων λαός. ὅτι δὲ ἔθος εἶχον αἱ Λάκαιναι καὶ αἱ Σπαρτιάτιδες ἀνδρείοις γυμνασίοις καὶ δρόμοις ἀσκεῖσθαι δῆλον. ἔτα μ ’ ἐκ κελεόντων : ἐκ τῶν ἱστοπόδων· τέμνεται γὰρ τὸ ὕφασμα ἐκ τοῦ ἱστοῦ, ὅταν τελεσθῇ. [5]

18 39/40 ἄμμες δ ’ ἐς δρόμον : εἰς τὸ γυμνάσιον καὶ τὸν λειμῶνα πορευσόμεθα ἀνθολογοῦσαι ἐν ἔαρι. καταθήσομεν ἐς πλατάνιστον δὲ ἀντὶ τοῦ κρεμάσομεν τὸν στέφανον ἀπὸ τῆς πλατάνου τῆς ἐν τῷ γυμνασίῳ.

18 45/46 ἐξ ὄλπιδος δέ, δηλονότι ἐκ ληκύθου, ἔλαιον αὐτῇ προσρανοῦμεν. γράμματα δ ’ ἐν φλοιῷ : ἐπιγράψεται δὲ τῷ φλοιῷ αὐτῆς γράμματα Δώρια· Δώρια δέ, ἐπεὶ καὶ αὐταὶ αἱ Λακεδαιμόνιαι Δωρίδες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18 51 Μενελάου δὲ καὶ Ἑλένης ἀναγράφονται παῖδες Σωσιφάνης, Νικόστρατος καὶ Ἰόλαος, οἱ δὲ Θρόνιον, καὶ θυγατέρες Μελίτη καὶ Ἑρμιόνη. ὅπως ἐξ ὑποστροφῆς ὄλβος εἰς τοὺς ἐκγόνους ἔλθῃ.

18 56 ἅμα ὄρθρῳ καὶ ἡμεῖς ἐλευσόμεθα, ὅταν ἀλεκτρυὼν ᾄσῃ. Σιμιχίδα Θεόκριτε, σοφῶν ὀΐων ποιμάντορ καὶ τοκάδων αἰγῶν αἰπόλε μηκάδων, τὰς Ἑλικωνίτιδες βοτάναι θρέψαν καλλίστως· UEAGP οὐ περὶ μάνδραν ἔδυν τεήν, ἀλλὰ σποράδας ἐξ ὀρέων συνέλεξα καὶ ἐς μίαν ἤγαγον μάνδραν βωκολικὰς Μοίσας, αἳ γέννημα σέθεν. οὐ πλειόνων δ’ ἐπέτυχον, ἐπεί γε μόλις καὶ τῶνδε. Τέλος τῶν Θεοκρίτου Βουκολικῶν. Ἠλακάτη Τοῦτο τὸ εἰδύλλιον σύγκειται εἰς ἠλακάτην ἐλεφαντίνην, ἣν πλέων ἐπὶ Μίλητον ὁ Θεόκριτος πρὸς Νικίαν τὸν ἰατρὸν δῶρον ἐκόμιζε τῇ τούτου γυναικὶ Θευγενίδι. [5]

28 arg γέγραπται δὲ Αἰολίδι διαλέκτῳ παρὰ τὸ Σαπφικὸν ἑκκαιδεκασύλλαβον τὸ ‘ῥοδοπάχεες ἁγναὶ Χάριτες δεῦτε Διὸς κόραι‘ (fgm. 65 Bergk Poet. lyr. gr. III 4 110). ὁ δὲ λόγος πρὸς τὴν ἠλακάτην. καὶ ἔστι τὸ ἑξῆς· γλαυκῆς Ἀθήνης δῶρον ἠλακάτη φιλέριθε, τουτέστι φίλεργε, ταῖς γυναιξίν. Παιδικὰ Αἰολικά 〈α′〉 Οἶνος ὦ φίλε παῖ Γέγραπται τοῦτο εἰς παῖδα ἀποστρεφόμενον τὴν τοῦ φιλοῦντος φιλίαν· διὸ καὶ ἐλέγχειν αὐτὸν πειρᾶται ὡς μὴ σπουδαίως πρὸς τὴν φιλίαν αὐτοῦ διακείμενον. [5]

29 arg τὸ δὲ μέτρον τοῦτο Σαπφικὸν πεντάμετρον τεσσαρεσκαιδεκασύλλαβον. ἡ δὲ ὁμιλία ἐστὶ 〈...〉 παρόσον εἰρῆσθαί φησιν ‘οἶνος καὶ ἀλήθεια‘, παρὰ τὴν παροιμίαν. ἀντὶ τοῦ· ἕνα βέβαιον κτῆσαι φίλον καὶ μὴ ἀπατῶντα. [5]

29 13 ὅπῃ μηδέν : 〈...〉 〈 τῷ δ ’ εὐθύς : 〉 οἷον πρὸ χρόνου σοι ἐγνωσμένῳ.

29 18/19 τὸν πρᾶτον δέ : τὸν δὲ πρῶτον ἀγαπήσαντά σε ἔσχατον τίθης δόξας αὐτὸν εἶναι τῶν μάτην ἐμπνεόντων ἀνδρῶν. καὶ ἐμὲ ἀπὸ ἰσχυροῦ μαλακὸν ἐποίησεν.

29 35-40 αἰ δὲ ταῦτά γε : ἐὰν ἅ σοί φημι τοῖς ἀνέμοις φέρειν ἐπιτρέπῃς καί με ὡς ὀχληρὸν ἀποπέμπῃς, ἄχρι μὲν γενήσῃ ἀνήρ, φιλῶν σε ἐπακούσω σοι, καὶ ἐὰν Ἡρακλείους ἄθλους τελέσαι μοι ἐπιτάσσῃς, μῆλα χρυσᾶ ἀγαγεῖν καὶ τὸν Κέρβερον ἐξ Ἅιδου κομίσασθαι· τότε δέ, δηλονότι ὅταν ἀνὴρ γενήσῃ, οὐδὲ ταῖς αὐλείαις σου θύραις ποτὲ προσπελάσαιμι, κἂν σύ με καλῇς. Θεοκρίτου Σῦριγξ Ἡ Θεοκρίτου Σῦριγξ τὴν ἐπιγραφὴν ἀπὸ τοῦ σχήματος ἔχει. [5]

Syr arg a συνέστηκεν δὲ ἀπὸ δακτυλικῶν μέτρων· καί εἰσιν οἱ μὲν δύο πρῶτοι στίχοι ἑξάμετροι, οἱ δὲ ἑξῆς δύο πεντάμετροι, εἶτα ἀπὸ πέντε ποδῶν μέχρις ἑνός. ἐπεὶ οὖν καθ’ ἕκαστον στίχον ἀφαιρουμένου ποδὸς συμβέβηκεν τὸν δεύτερον μικρότερον εἶναι τοῦ πρώτου καὶ λήγειν κατ’ ὀλίγον εἰς βραχύ, διὰ τοῦτο κέκληται Σῦριγξ· οὐ μόνον δὲ 〈διὰ〉 τοῦτο, ἀλλ’ ὅτι καὶ περὶ σύριγγος διαλέγεται καὶ τοῦ πρώτου εὑρόντος αὐτήν· λέγει οὖν εὑρετὴν γεγονέναι Πᾶνα καὶ περὶ αὐτοῦ [πρώτου] λέγει τὴν ὅλην ὑφήγησιν. ὁ γοῦν Θεόκριτος τὸ γένος Συρηκόσιος ἤκμασεν ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου. [10]

Syr arg c τὸ ἐπιγραμμάτιον ἡ Σῦριγξ τοῦ Θεοκρίτου συνέστηκεν ἐκ μέτρων ὅλων μὲν δακτυλικῶν, ποσότητι δὲ διαφερόντων. τὸ μὲν γὰρ πρῶτον δίστιχον ἑξάμετρον ἀκατάληκτον μετρούμενον ὡς οἱ ἡρωϊκοί, τὸ δεύτερον δὲ ἑξάμετρον καταληκτικόν, τὸ τρίτον πεντάμετρον ἀκατάληκτον, τὸ τέταρτον πεντάμετρον καταληκτικόν, τὸ πέμπτον τετράμετρον ἀκατάληκτον, τὸ ἕκτον τετράμετρον καταληκτικόν, τὸ ἕβδομον τρίμετρον ἀκατάληκτον, τὸ ὄγδοον τρίμετρον καταληκτικόν, τὸ ἔννατον δίμετρον ἀκατάληκτον, τὸ δέκατον [δίμετρον καταληκτικόν·] τὰς καταλήξεις ἔχον χορίαμβον καὶ μολοσσὸν δίμετρόν ἐστι καταληκτικόν. ἡ μετάληψις τῆς Σύριγγος οὕτως ἔχει. [10]

Syr arg d Anth. 1.2 τὸ ἐπιγραμμάτιον εἰς Πᾶνα· ἐπιγράφεται δὲ Σῦριγξ διά τε τὸ σχῆμα τῆς γραφῆς καὶ ὅτι ὁ Θεόκριτος σύριγγα ἀνατιθεὶς τῷ Πανὶ ταῦτα ἔγραψεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Syr arg e Anth. UEM ἡ δὲ ἔννοιά ἐστι τῶν δύο πρώτων στίχων αὕτη· ἡ Πηνελόπη ἐγέννησε Πᾶνα τὸν αἰπόλον.

Syr 1/2a εἶπε δὲ τὴν Πηνελόπην Οὐδενὸς εὐνάτειρα ν , ἐπεὶ γυνὴ ἦν Ὀδυσσέως, ὃς Οὖτιν ἑαυτὸν ἐκάλεσεν (ι 366 sqq.). τὸν δὲ Πᾶνα ἔνιοι γηγενῆ ἱστοροῦσιν, ἔνιοι δὲ Αἰθέρος καὶ νύμφης Οἰνόης, 〈ἔνιοι δὲ Ἀπόλλωνος καὶ Πηνελόπησ〉 ὡς καὶ Πίνδαρος (fgm. 100 Schroeder Poet. lyr. gr. I 1 5 , 422), ἔνιοι δὲ Ὀδυσσέως. Μακροπτολέμου δὲ μητέρα τοῦ Τηλεμάχου· τὸ γὰρ τῆλε μακράν ἐστι, πόλεμος δὲ ἡ μάχη. μαῖαν δὲ ἀντιπέτρου φησὶ τὴν αἶγα τὴν μαιευσαμένην τὸν Δία· ἀντίπετρος μὲν γὰρ ὁ Ζεύς, ἐπειδὴ ἀντ’ αὐτοῦ πέτρος ἐδόθη τῷ Κρόνῳ· ἐτράφη δὲ ὑπὸ αἰγὸς τῆς Ἀμαλθείας. ἰθυντῆρα οὖν τῆς τροφοῦ τοῦ Διός, τουτέστι τῆς αἰγός, εἶπε τὸν αἰπόλον. Οὐδενὸς εὐνάτειρα : ἡ Πηνελόπη· Οὗτις γὰρ ὁ Ὀδυσσεύς.

Syr 1/2c Μακροπτολέμοιο δὲ μήτηρ : ἡ αὐτή· μήτηρ γὰρ Τηλεμάχου· τὸ δὲ τῆλε μακράν ἐστιν, μάχη δὲ ὁ πόλεμος. οὐχὶ Κεράσταν : κέρας ἐστὶν ἡ θρίξ 〈.

Syr 3 ..〉. ἐπεὶ οὖν ὑπὸ τῆς Πηνελόπης γεγενῆσθαι αἰπόλον ἔφη, ἔστι δὲ αἰπόλος καὶ ὁ Κομάτας, οὗ μέμνηται ὁ αὐτὸς ποιητὴς ἐν τοῖς Βουκολικοῖς (VII 83—85), ὅτι κατακλεισθέντα αὐτὸν εἰς λάρνακα ἔθρεψαν μέλισσαι, διὰ τοῦτο εἶπεν ὅτι οὐχὶ τὸν Κομάταν λέγω· ταυροπάτορα δὲ εἶπεν τὴν μέλισσαν, ἐπειδὴ σηπομένων τῶν ταύρων μελίσσας φασὶ γίνεσθαι. ἀλ λ ’ οὗ πιλιπές : ἀλλ’ ἐκεῖνον τὸν αἰπόλον, ὃς τῆς Πίτυος ἠράσθη.

Syr 4 πιλιπὲς δὲ τέρμα σάκους εἶπεν τὴν Πίτυν, ἐπειδὴ ἡ ἐξωτάτη περιφέρεια τῆς ἀσπίδος ἴτυς καλεῖται· ἐλλείπει οὖν αὐτῇ τὸ π πρὸς τὸ εἶναι πίτυν. οὔνο μ ’ Ὅλον δίζῳον : δίζῳον οὖν αὐτὸν εἶπεν, ἐπειδὴ δύο ζῴων εἶδος ἔχει, ἀνθρώπου καὶ τράγου.

Syr 5/6b ὃς τᾶς μέροπος πόθον : ὃς τῆς Ἠχοῦς ἠράσθη. εἶπε δὲ αὐτὴν μέροπα ἀπὸ τοῦ μὴ ὅλην ἀντιφθέγγεσθαι τὴν φωνήν, ἀλλὰ μέρος τὸ τελευταῖον· γηρυγόνην δέ, ἐπειδὴ ἐκ τῆς γήρυος τουτέστι τῆς φωνῆς τὴν γένεσιν λαμβάνει· διὸ καὶ ἀνεμώδης τουτέστι πνευματική. ὃς μοίσᾳ λιγὺ πᾶξεν ἰοστεφάνῳ : ὃς μουσικῶς ἔπηξε τὴν σύριγγα.

Syr 7/8a εἶπεν δὲ αὐτὴν ἕλκο ς , ἐπεὶ εἶδός τί ἐστιν ἕλκους οὕτω καλούμενον· ἄγαλμα δὲ πόθο υ , ἐπεὶ Σύριγγός τινος ἠράσθη ὁ Πὰν καὶ εἰς μνήμην τοῦ ἔρωτος, ἐπειδὴ πρὸ ὥρας μετήλλαξε τὸν βίον, τὸ μουσικὸν ὄργανον ἐποίησεν καὶ οὕτω ἐκάλεσεν. ἰοστεφάνῳ δέ, τῇ ὥρᾳ τοῦ ἔαρος· ἐν τούτῳ γὰρ κρούουσι τὰς σύριγγας.

Syr 7/8b EM ὃς σβέσεν ἀνορέαν : ὃς τὴν ὑπερηφανίαν ἔπαυσε τὴν Περσικὴν καὶ τῆς ἀπωλείας τὴν Εὐρώπην ἐρρύσατο· φασὶ γάρ, ὅτι ἐναργῶς ὁ Πὰν τοῖς Ἕλλησι συνεμάχησε κατὰ τῶν βαρβάρων.

Syr 9/10a Anth. EM ἀνορέαν δὲ τὴν Περσικὴν αὔχησιν.

Syr 9/10b Anth. ἰσαυδέα παπποφόνου : ἀντὶ τοῦ ὁμώνυμον τοῦ Περσέως, ὃς τὸν πάππον αὐτοῦ τὸν Ἀκρίσιον ἀπέκτεινεν· Ἀκρισίου δὲ Δανάη, ἀφ’ ἧς Περσεύς.

Syr 9/10c τὴν δὲ Εὐρώπην Τυρίαν εἶπεν, ἐπειδὴ ἡ Εὐρώπη ὑπὸ Διὸς ἁρπασθεῖσα ἐκεῖAnth. EM θεν ἦν. ᾧ τόδε : ἀντὶ τοῦ· τῷ Πανὶ τὴν σύριγγα τῶν ἀγροίκων ἐπέραστον κτῆμα Θεόκριτος ἀνέθηκεν ὁ Σιμίχου παῖς.

Syr 11/12 τυφλοφόρους δὲ εἶπε τοὺς ἀγροίκους, ἐπειδὴ πήρας φοροῦσι· πήρα δὲ καὶ τυφλὴ συνώνυμα. πᾶμα δὲ τὸ κτῆμα. Ὅμηρος (Δ 433)· ‘πολυπάμονος ἀνδρὸς ἐν αὐλῇ.‘ Θεόκριτος δὲ Πάριν ἑαυτὸν εἶπεν, ἐπειδὴ ὁ Πάρις τὰς θεὰς κρίνων ὑπό τινων (Dos. Ar. 10) Θεόκριτος ὠνομάσθη. ψυχὰν ἀεὶ βροτοβάμων : τῇ σύριγγι, ὦ Πάν, τὴν ψυχὴν χαίροις.

Syr 13 βροτοβάμονα δὲ εἴρηκε τὸν Πᾶνα ὡς πετροβάτην ἀπὸ τῶν λαῶν καὶ τοῦ κατὰ Δευκαλίωνα μύθου. φασὶ γάρ, ὅτι μετὰ τὸν κατακλυσμὸν σπανιζόντων τῶν ἀνθρώπων λίθους λαβὼν ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Δευκαλίων ἀνθρώπους ἐποίει, ὅθεν αὐτοὺς καὶ λαοὺς κεκλῆσθαι λέγουσιν. στήτας οἶστρε Σαέττας : τουτέστιν ὁ οἶστρον ἐμβαλὼν τῇ Λυδῇ γυναικί.

Syr 14 φασὶ γάρ, ὅτι ἡ Ὀμφάλη ἡ Λυδὴ οἶστρον εἶχε περὶ τὸν Πᾶνα πολύν. τὸ δὲ στήτη ἡ γυνή, Σαέττης δὲ τῆς Λυδῆς. κλωποπάτωρ : ἡ Πηνελόπη τὸν Πᾶνα ἐγέννησε κατὰ μέν τινας ἀπὸ Ἑρμοῦ, κατὰ δὲ ἄλλους ἐκ τῶν μνηστήρων.

Syr 15b ὁ Πὰν δὲ 〈 κλωποπάτω ρ , καθὸ〉 κλέπτου πατρὸς ἦν Ἑρμοῦ, ἀπάτωρ δὲ ὡς πολυπάτωρ. 〈 κλωποπάτωρ : 〉 τουτέστι κλεψίγαμε, κλεπτότοκε, πατρὸς τοῦ Ἑρμοῦ.

Syr 16 τὸ δὲ λαρνακόγυιε χαίροις : τὸ μὲν οὖν χαίροις πρὸς τὸ ψυχὰν ἀποδοτέον· λαρνακόγυιον δὲ τὸν Πᾶνα, ἐπεὶ χηλόπους ἐστί. λάρναξ δὲ ἡ χηλὸς καὶ ἡ κιβωτός· ταὐτὸν δ’ ἐστί. διὰ δὲ τῶν ἑξῆς δηλοῖ· ἁδὺ μελίσδει ς , ἡδὺ προσᾴδεις τῇ Ἠχοῖ· εἶπεν δὲ αὐτὴν ἔλλοπ α , ὡς καὶ μέροπα (v.

Syr 17-20 5), ἀπὸ τοῦ ἐλλείπειν τῇ φωνῇ· καλλιόπαν δὲ ἀπὸ τοῦ καλὴν ὄπα προφέρεσθαι· νήλευστον δὲ τὴν ἀόρατον· τὸ γὰρ νη στερητικόν, τὸ δὲ λεύσσειν ἐστὶν τὸ ὁρᾶν. Σιμίου Πτέρυγες Αὐτός ἐστιν ὁ Ἔρως ὑπὲρ ἑαυτοῦ λέγων, ὅτι πάντα αὐτῷ εἴκει καὶ τὰ ἐπὶ γῆς καὶ τὰ ἐν οὐρανῷ καὶ θαλάττῃ.

Pter arg a τὸ δὲ σχῆμα τοῦ Πτερυγίου οὐκ ἔχει ἀπὸ τοῦ πρώτου ἐπὶ τὸ ἔσχατον τὴν ἀνάγνωσιν ὡς ἐπὶ τοῦ Πελέκεως καὶ τοῦ Ὠιοῦ Anth. KG 〈, ἀλλὰ κατὰ τὸ ἑξῆς τῶν στίχων〉 . τὸ δὲ μέτρον τοῦ Πτερυγίου καὶ τοῦ Πελέκεως χοριαμβικόν, κατὰ στίχον ὑφαιρουμένης συζυγίας. ὑμνεῖ δὲ οὐ τὸν πάνδημον Ἔρωτα τὸν Ἀφροδίτης, ἀλλὰ τὸν οὐράνιον, τὸν γενεσιουργόν, οὗ καὶ Πλάτων μέμνηται ἐν τοῖς Σωκρατικοῖς διαλόγοις (Conv.

Pter arg b 178 sqq.), ὅτε πρὸς Θρασύμαχον περὶ θείου τε καὶ ἀνθρωπείου διελεγέσθην ἔρωτος. καὶ ταῦτα μὲν οὕτως. τούτου ἡ ἀνάγνωσις ὡς γέγραπται δύναται γίνεσθαι ἕνεκά γε τοῦ νοῦ, ἀλλὰ κἂν διὰ τὰ μέτρα ἀπὸ τοῦ πρώτου ἐπὶ τὸ ἔσχατον ἔρχῃ, ἵνα τὰ ἀλλήλοις ἀντίστροφα ᾖ μετ’ ἀλλήλων.

Pter arg c ταύτῃ γὰρ κελεύει τὸ πρῶτον ἀναγνόντας εἶτα τὸ πανύστατον προφέρεσθαι καὶ ἀναλόγως ἄνωθεν τὸ δεύτερον· καὶ οὕτως ὁ τρόπος, ἕως ἂν ἐπὶ τὸ βραχύτατον ἀφίκῃ. [ὁ δὲ λόγος] λέγει μὲν ὁ Ἔρως, ὁ δὲ νοῦς ἅπας οὕτως ἔχει· ὅρα με τὸν γῆς τε ἄνακτα καὶ τὸν οὐρανὸν ἄλλῃ ἑδράσαντα μηδὲ φροντίσῃς, εἰ τηλικόσδε ὢν τελείου ἔργα ποιῶ ἢ εἰ τελειότατός εἰμι· τότε γὰρ ἐγενόμην, ὅτε ἡ Ἀνάγκη ἦρχε καὶ πάντα ὑπεῖκε ταῖς τῆς Γῆς γνώμαις, ὅσα ἕρπει δι’ ἀέρος καὶ αἰθέρος. οὐκ εἰμὶ δὲ ὁ Ἀφροδίτης υἱός, καλοῦμαι δὲ Ἔρως· καὶ οὐδὲν δὲ ἔπραξα 〈βίᾳ〉 , τὰ πάντα δέ μοι πείθονται, ὑπεῖξαν δέ μοι οἱ γῆς τε καὶ θαλάσσης μυχοὶ καὶ ὁ οὐρανός, ὧν ἐγὼ τὸ ἀρχαῖον ἀφειλόμην σκῆπτρον καὶ ἐδίκαζον θεοῖς. ἔχει δὲ νοῦν κἂν ἀπὸ τοῦ πρώτου ἐπὶ τὸ ἔσχατον ἔρχῃ ὡς προείρηται. Ἀκμονίδαν δέ φησι τὸν οὐρανόν· Γαῖα μὲν 〈γὰρ〉 Ἄκμονα ἔτικτεν, ἀπὸ δ’ Ἄκμονος ὁ Οὐρανός.

Pel t Σιμίου Πέλεκυς τὸ ἑξῆς· ἀνδροθέᾳ τῇ Ἀθηνᾷ δῶρον ὁ Φωκεὺς ὤπασεν Ἐπειὸς πέλεκυν τῆμος, 〈ἐπεὶ〉 Δαρδανιδᾶν ἐστυφέλιξεν ἐκ θεμέθλων ἄνακτας.

Pel arg a δεῖ τὸν ἀναγινώσκοντα καὶ ἐξηγούμενον μετὰ τὸ πρῶτον Anth. K κῶλον τὸ τελευταῖον λέγειν, εἶτα τὸ δεύτερον ἀπ’ ἀρχῆς καὶ μετ’ αὐτὸ τὸ δεύτερον ἀπὸ τέλους, καὶ οὕτως καθεξῆς ἕως τοῦ μέσου, ὥστε τὸ μέσον τέλος εἶναι. τὸν πέλεκυν τοῦτον Ἐπειὸς ἀνατίθησι τῇ Ἀθηνᾷ, ᾧ κατεσκεύασε τὸν δούρειον ἵππον.

Pel arg b τὸ μέτρον δὲ χοριαμβικὸν ἀρξάμενον ἀπὸ καταληκτικοῦ ἑξαμέτρου, καταλῆγον δὲ εἰς μονόμετρον ἰαμβικόν. τὸ αὐτὸ δὲ μέτρον τῷ Πτερυγίῳ· ἀλλὰ διαφέρει, καθὸ ὁ μὲν Πέλεκυς ἔχει τὸ πρῶτον κῶλον πρὸς τὸ τελευταῖον συναπτόμενον κατὰ διάνοιαν, τὸ δὲ Πτερύγιον κατὰ τὸ ἑξῆς τῶν στίχων. τοῦ Πελέκεως ἡ ἀνάγνωσις.

Pel arg c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δύναται καὶ ἀπὸ τοῦ μέτρου τοῦ βραχυκαταλήκτου τις ἄρχεσθαι, εἶτ’ αὐτῷ ἀνταποδιδοὺς τὸ ἴσον, καὶ ἀκολούθως τοῖς μετ’ αὐτὸ τὰ ἴσα ἐπιφέρων διασώσασθαι τὸν νοῦν· ἀπὸ μὲν τοῦ δωδεκάτου ἀναβαίνων, ἀπὸ θατέρου εἰς ἕνδεκα καταχωρῶν. ἔχει δὲ λόγον κἂν ἀντιθετικῶς ἀναγινώσκηται πρῶτον μὲν τὸ μέγιστον, ἀνταποδιδομένου τοῦ ἐσχάτου, καὶ πάλιν ἀναλόγως τῷ δευτέρῳ τοῦ ἀπὸ τέλους δευτέρου, ἕως ἐπὶ τὰ μέσα ἀφίκη. ἐξήγησις τοῦ Πελέκεως.

Pel arg d γέγραπται μὲν εἰς τὸν Ἐπειοῦ πέλεκυν. λέγει δὲ ὅτι δῶρον τῇ Ἀθηνᾷ ὁ Φωκεὺς Ἐπειὸς τῆς τέχνης καὶ ἐπινοίας χάριν ἀποτίνων ἀνέθηκεν, ᾧ ποτε τῶν θεοποιήτων πύργων κατήριπε τὸ τεῖχος, ἡνίκα τῇ ἱπποποιήτῳ κηρὶ καὶ πυριπνόῳ τὴν πόλιν ἔκαυσεν· διὰ γὰρ τοῦ ἵππου εἷλον Ἴλιον 〈οἱ〉 Ἕλληνες· καὶ τοὺς αὐτῆς βαθυπλούτους ἄνακτας ἐκ βάθρων ἔσεισεν Ἐπειός, ὃς οὐκ ἦν προμάχοις ἐναρίθμιος, ἀλλ’ ἀπὸ κρηνῶν καθαρῶν πόμα ἔφερε τοῖς Ἀχαιοῖς· νῦν δὲ ἐχώρησεν εἰς τὴν Ὁμήρου ποίησιν διὰ τὴν Ἀθηνᾶς χάριν. μακάριος οὖν, ὃν σὺ ἀπὸ ψυχῆς ἵλεως εἶδες· τῷ γὰρ τοιούτῳ καὶ εὐδαιμονία ἀεὶ παρακολουθεῖ. ἀνδροθέα δὲ ἡ ἔπανδρος θεά· οἶμαι δὲ ὅτι διὰ τούτου τοῦ ὀνόματος τὴν παρθένον καὶ ἀνδρείαν ἐσήμανεν.

Oion t Σιμίου Ὠιόν Παραινεῖ ὁ ποιητὴς τὸν ἀκροατὴν λαβεῖν τῆς Δωρίδος ἀηδόνος τὸ ᾠὸν μετὰ πολλῆς προθυμίας· ἡδεῖα γάρ ἐστιν ἡ φωνὴ τῆς Δωρίδος ἀηδόνος.

Oion arg a τοῦτο δὲ τὸ ᾠὸν ὁ μεγαλοφωνότατος τῶν θεῶν Ἑρμῆς, ἤγουν ὁ λόγος, παρέσχε· κελεύει δὲ Anth. ἀπὸ μονοβάμονος μέτρου ἐπὶ μέγα αὔξειν. ἀπὸ τοῦ πρώτου ἥξεις ἐπὶ τὸ τελευταῖον κατιὼν καὶ πάλιν ἐπανιὼν ἀναλόγως.

Oion arg c [φησὶ] ὁ δὲ νοῦς· τοῦτο τὸ ᾠὸν ὁ ποιητής φησιν ἐξ ἀηδόνος γενέσθαι καὶ τῆς ἑαυτοῦ φροντίδος. παρακαλεῖ οὖν δέξασθαι μεθ’ ἡδονῆς τὸ ᾠόν [δέξασθαι δέ φησι πᾶσι τοῦτο παραινεῖ] 〈...〉 ὑφ’ Ἑρμοῦ τάχει χρησαμένου καὶ τὰ μέτρα καὶ τοὺς ῥυθμοὺς ἀνομοίους ὄντας ἀποδείξαντος ὁμοίους. ἀλληγορεῖ δὲ παρεικάζων τὴν τῶν ποδῶν ὁρμὴν τοῦ θεοῦ νεβροῖς, αἳ σκιρτῶσι τῆς μητρὸς τοῦ γάλακτος ἐπιθυμοῦσαι· οὕτω φησὶ σκιρτήσαντα τὸν Ἑρμῆν εὐρύθμοις σκιρτήμασι μέτρα ἀναφθεγξάμενον παραδοῦναι τῆς Δωρίας ἀηδόνος· τοῦτο δέ φησιν, ὅτι Ῥόδιος αὐτός, ἡ δὲ Ῥόδος μία τῶν νήσων τῶν Δωριέων. μονοβάμονος δὲ μέτρο υ , ὅτι ἀπὸ ἐλαχίστου εἰς δεκάμετρον προῆλθεν.

Oion 11a θοῶς δ ’ ὕπερθεν ὠκὺ λέχριον : ἐπειδὴ τὸ μέτρον πλάγιον καὶ οὐκ ὀρθόν, ἀλλὰ κατὰ μικρὸν αὐξόμενον. τὸ δὲ λέχριον φέρων νεῦμα ποδῶν σποράδη ν , ὅτι πλάγιον καὶ ἀσαφὲς τὸ ποίημα.

Oion 12 〈 παναίολο ν , 〉 ὅτι τῶν Μουσῶν αἱ φωναὶ ποικίλαι καὶ διαφορὰς πολλὰς ἔχουσι. τὸ δὲ ῥώοντο ἀντὶ τοῦ ἐβάδιζον.

Oion 17a ἀμφίπαλτον δὲ αὐδὴν τὴν φωνὴν τὴν περὶ ἑαυτὴν παλλομένην καὶ ἠχοῦσαν. πουκότατον δὲ ἀντὶ τοῦ πυκνότατον.

Oion 17b τὰ λοιπὰ ζήτει ἑκάστης λέξεως τὸ σημαινόμενον· Δωρικὰ γάρ. Δωσιάδου Βωμός Ἑρμηνεῖαι τοῦ Ὁλοβόλου ῥήτορος κυροῦ Μανουὴλ καὶ μεγάλου πρωτοσυγκέλλου Ὁ διὰ τῶν μέτρων οὑτοσὶ βωμὸς Δωσιάδου τινὸς εὕρημα.

Bom Dos arg γέγραπται δὲ ἐπὶ τῷ βωμῷ, ὃν ὁ Ἰάσων κατεσκεύασεν τῷ Ἀπόλλωνι. ἐν τούτῳ τῷ βωμῷ κατά τινα χρησμὸν ἔθυσεν Ἀγαμέμνων, τοῦτον καὶ Φιλοκτήτης ἐτίμησεν. ἡμεῖς δὲ τὴν ἐν τούτῳ κεκρυμμένην ἔννοιαν, οὐχ ἧττον δὲ καὶ τὸ μέτρον δῆλα σὺν θεῷ τοῖς μὴ εἰδόσι ποιήσομεν ἐκ παλαιοῦ τινος λαβόντες τὰς ἀφορμάς. ὡς ἀπὸ τοῦ βωμοῦ ὁ λόγος· ὅτι ἐγώ εἰμι ὁ βωμός, ὅν με τεῦξε καὶ κατεσκεύασεν Ἰάσων, ὁ Μέροψ ἤγουν ὁ Θεσσαλός—ἄποικοι γὰρ Μερόπων οἱ Θεσσαλοί—, ὁ δίσαβος ὁ δὶς ἡβήσας, τὸ μὲν τῇ φύσει, τὸ δὲ τῇ τῆς Μηδείας ἑψήσει καὶ τῇ ἐντεῦθεν ἀνανεώσει, ὁ πόσσις καὶ ὁ ἀνήρ —δὶς τὸ σς Αἰολικῶς διὰ τὸ μέτρον—, ὁ χρυσοῦς καὶ λαμπρὸς ἀΐτας καὶ ἐραστὴς τῆς στήτης καὶ τῆς γυναικὸς τῆς ἄρσενος καὶ τῆς ἀνδρείας—ἐπιβουλεύσασα γὰρ Μήδεια Θησεῖ καὶ φωραθεῖσα ἔφυγεν εἴς τι τῆς Ἀσίας μέρος, ὃ νῦν Μηδία

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐξ αὐτῆς καλεῖται, ἀνδρῴαν περιβαλοῦσα στολήν—· οὐχ ὁ σποδεύνας ἤγουν ὁ Ἀχιλλεὺς ὁ ἐν σποδῷ καὶ πυρᾷ εὐναζόμενος καὶ κοιμιζόμενος παρὰ τῆς οἰκείας μητρὸς Θέτιδος, ὥς φησι Λυκόφρων (v.

Bom Dos 1-5a 177 sq.), πάλιν οὐχ ὁ Ἀχιλλεὺς ὁ ἶνις καὶ ὁ υἱὸς τῆς Ἐμπούσης ἤγουν τῆς Θέτιδος—φάσμα γάρ τι ἡ Ἔμπουσα νυκτερινὸν εἰς μυρίας μορφὰς ἀλλοιούμενον, ὥς φησι Φιλόστρατος (Vit. Apoll. II 4), μετεβάλλετο δὲ εἰς μυρίας μορφὰς καὶ ἡ Θέτις, ὅτε μιγῆναι ταύτῃ ὁ Πηλεὺς ἔσπευδεν, ᾗ καὶ ἐμίγη ἐν σηπίας εἴδει—, πάλιν οὐχ ὁ Ἀχιλλεὺς ὁ μόρος καὶ ὁ θάνατος καὶ ὄλεθρος τοῦ βούτου καὶ βουκόλου Ἀλεξάνδρου, τοῦ Τευκροῦ καὶ τοῦ Τρωός, τοῦ τεκνώματος τῆς κυνὸς ἤγουν τοῦ υἱοῦ τῆς Ἑκάβης, ἥτις Κύων ὠνόμασται καὶ Χοιρίλη διὰ τὸ τῶν παίδων οὓς ἔτεκε πλῆθος. τοῦτο λέγει· ὅτι ἐγώ εἰμι ὁ βωμός, ὃν κατεσκεύασεν ὁ ἀνὴρ τῆς Μηδείας, οὐχ ὁ Ἀχιλλεὺς ὁ τοιόσδε καὶ τοιόσδε, ἀλλ’ ὁ Ἰάσων· δύο γὰρ Θετταλοὺς ἄνδρας ἔσχε Μήδεια, τὸν Ἰάσονα ἐν Θετταλίᾳ καὶ τὸν Ἀχιλλέα ἐν ταῖς νήσοις τῶν μακάρων.

Bom Dos 5-8 πότε δέ με ἔτευξεν ὁ Ἰάσων; ἦμος καὶ ὁπηνίκα εὗσε καὶ ἔκαυσε καὶ ἔρραισε καὶ ἔφθειρεν ἡ Μήδεια τὸν οὖρον καὶ τὸν ὁρμητικὸν ὡς ἀνδρεῖον, γυιόχαλκον καὶ χάλκεον ἄνδρα διὰ τὸ ἀεὶ ὡπλισμένον εἶναι, τὸν Τάλων κωλύοντα τοὺς Ἀργοναύτας διελθεῖν· ὃν Τάλων, ὃς ἐν μιᾷ ἡμέρᾳ 〈τρὶσ〉 περιώδευε τὴν νῆσον τὴν Κρήτην καὶ ἐφύλαττε, μόρησε καὶ μετὰ μόρου καὶ κακοπαθείας ὁ Ἥφαιστος ἐτεκτήνατο, ὁ ἀπάτωρ —ἐκ γὰρ τῆς Ἥρας μόνης ἐγεννήθη, ὡς ληρεῖ Ἡσίοδος ἐν τῇ Θεογονίᾳ (v. 927), ἣ καὶ ἔρριψεν αὐτὸν ὡς ἐτώσιον ἄχθος, ἢ ὁ μητρόριπτος τουτέστιν ὁ διὰ τὴν μητέρα ῥιφθεὶς ὑπὸ τοῦ Διὸς μεσιτεύων αὐτήν—, ὁ δίσευνος Ἥφαιστος καὶ δύο γυναῖκας σχών, τὴν Ἀφροδίτην καὶ τὴν Χάριν. ἐμὸν δὲ τεῦγμα καὶ τὴν ἐμὴν κατασκευὴν ἀθρήσας καὶ θεασάμενος ὁ Φιλοκτήτης, ὁ κτάντης καὶ ὁ φονεὺς τοῦ Θεοκρίτου καὶ τὰς θεὰς κρίναντος Ἀλεξάνδρου, ὁ καύτης καὶ ὁ ἐνταφιαστὴς τοῦ τριεσπέρου 〈ἤγουν τοῦ ἐν τρισὶν ἡμέραις τε καὶ νυξὶν ὑπὸ Διὸς σπαρέντοσ〉 Ἡρακλέος —γνώριμοι αὗται αἱ ἱστορίαι ἐν τῷ Λυκόφρονι (v.

Bom Dos 9-12 33. 93. 916)—, τί ἐποίησεν; ἄϊξε καὶ ὥρμησεν ἀνιύξας καὶ κράξας, τουτέστιν ἐμὲ ὕμνησε καὶ ἐδόξασεν ἰδὼν ὁ Φιλοκτήτης. εἰς δὲ ἀντίχαριν—οὕτω γὰρ τιμῶσιν οἱ δαίμονες τοὺς τιμῶντας αὐτούς— χάλεψε καὶ χαλεπῶς ἔτρωσε νὶν καὶ αὐτὸν ἐν ἰῷ καὶ φαρμάκῳ ὁ σύργαστρος ἤγουν ὁ ὄφις ὁ τῇ γαστρὶ συρόμενος, ὁ ἐκδὺς τὸ γῆρας —νεάζει γὰρ ὁ ὄφις τῇ τῆς παλαιᾶς λεβηρίδος ἀποβολῇ.

Bom Dos 15-18a τοῦτον δὲ ἐλινύοντα καὶ βραδύνοντα ἐν τῇ ἀμφικλύστῳ καὶ περιρρύτῳ Λήμνῳ μετὰ χρόνους 〈ι′〉 εἰς τὴν Τευκρίδα ἤγουν τὴν Τροίαν, τὴν τρίπορθον καὶ τρὶς πορθηθεῖσαν—παρὰ Ἡρακλέους, παρὰ Ἀμαζόνων καὶ τὸ τρίτον τῶν Ἑλλήνων—, ἤγαγε καὶ ἐκόμισεν ἕνεκα τῶν ἀρδίων καὶ τῶν τόξων καὶ τῶν βελῶν τοῦ Ἡρακλέους, τίς; ὁ φὼρ καὶ ὁ κλέπτης τοῦ Παλλαδίου Ὀδυσσεύς, ὁ δίζῳος ὁ εἰς Ἅιδου κατελθὼν κἀκεῖθεν ἀνελθών, ὁ εὐνέτης καὶ ὁ ἀνὴρ τῆς μητρὸς τοῦ Πανὸς ἤγουν τῆς πηνελόπης, ἣ ἔτεκε τοῦτον ἐκ τῆς μίξεως πάντων τῶν μνηστήρων. καὶ ἄλλος τις ἤγαγε τοῦτον τὸν Φιλοκτήτην εἰς τὴν Τροίαν· ὁ Ἰλιοραίστης ὁ τῆς Ἰλίου φθορεὺς Διομήδης, ὁ ἶνις καὶ ὁ υἱὸς τοῦ Τυδέως τοῦ ἀνδροβρῶτος —ἔφαγε γὰρ οὗτος ὁ Τυδεὺς τὴν κεφαλὴν τοῦ Μελανίππου καταρροφήσας τὸν ἐν αὐτῇ μυελόν. ἴσθι δὲ ὡς οὗτος μὲν Ὀδυσσέα καὶ Διομήδην φησὶ τὸν Φιλοκτήτην ἀγαγεῖν εἰς Τροίαν, Σοφοκλῆς δὲ ἐν τῷ Φιλοκτήτου δράματι Ὀδυσσέα καὶ Νεοπτόλεμον.

Bom Bes t Βησαντίνου Βωμός Ὁ νοῦς ὅλου τοῦ ποιήματος.

Bom Bes 1-3a ὀλός : τὸ τῆς σηπίας μέλαν, ὃ καὶ θολὸν καλοῦσι πορφυρευταί. σκοτοῦσι δὲ αἱ σηπίαι τὴν πέριξ αὐτῶν θάλασσαν διὰ τοῦ μέλανος, ἵνα λάθωσι τοὺς θηρευτάς. ψιλοῦται δὲ καὶ ὀξύνεται ὀλός·

τὸ γὰρ περιεκτικὸν δασύνεται καὶ βαρύνεται. ὁ λόγος δὲ ἀπὸ τοῦ βωμοῦ· ὅτι οὐ τέγγομαι τῷ τῶν ἱερείων αἵματι, ὁποῖα ἡ κάλχη, ὅ ἐστιν [ἱερεῖον] 〈. [5]

Bom Bes 1-3b ..〉 ‘τοῖς δευσοποιοῖς φαρμάκοις ξανθίζεται‘ (fgm. adesp. 441 Nauck Trag. gr. fgm. 2 924). μεταφορικῶς δὲ τὸ τῶν ἱερείων αἷμα σηπίας ὀλὸν εἶπεν διὰ τὴν ὁμοιότητα. ὀλὸς 〈λιβρὸς〉 ὁ σκοτεινός, φησὶ δὲ τὸ αἷμα. [5]

Bom Bes 1-3d κάλχην δὲ τὴν πορφύραν ἤγουν τὸν κόχλον. Anth. μαύλιες δ ’ αἱ μάχαιραι.

Bom Bes 4b πέτρης Ναξίας θοούμεναι : Νάξος Κρήτης νῆσος φέρουσα ἀκόνας. παμάτων : τῶν θρεμμάτων.

Bom Bes 5/6a Anth. 1.2 οὐ στροβίλων λιγνύϊ : ὁ νοῦς· οὐ λιβανωτοῦ καπνῷ μελαίνομαι.

Bom Bes 5/6b Anth. ἰξὸς δέ ἐστιν εὐῶδες φυτὸν τῶν δένδρων τῶν Ἀραβικῶν.

Bom Bes 5/6c [οὐχ ὁ ἰξός ἐστι φυτόν, ὦ λῷστε, ἀλλὰ τὸ μὲν φυτὸν ἄλλως πως ὀνομάζεται, ὁ δὲ ἰξὸς ὁ λιβανωτός, ὃν θυμιῶσι πρὸς τοὺς βωμοὺς Ἑλλήνων παῖδες κακοδαίμονες.] ἰξὸς λέγεται τὸ καταρρέον ἀπὸ τῶν δένδρων τῶν Ἀραβικῶν, μεταφορικῶς δὲ τὸν λιβανωτὸν λέγει.

Bom Bes 5/6e Νῦσαι δὲ πολλαί εἰσι, νῦν δὲ τὴν Ἀραβικὴν λέγει. ὁ δὲ νοῦς· οὐ γὰρ ὁρᾷς με οὔτε χρυσοῦν οὔτε ἀργυροῦν.

Bom Bes 7/8a τάγχουρος γὰρ ὁ χρυσός, ἡ λέξις Περσική. οὔ τ ’ ἐξ Ἀλύβης παγέντα βώλοις : τουτέστιν ἐξ ἀργύρου· ὁ γὰρ Ὅμηρος (Β 857) τὴν Ἀλύβην γενέθλην τοῦ ἀργύρου ὠνόμασεν.

Bom Bes 7/8c Ἀλύβης παγέντα βώλοις : ἀργύρῳ φησίν. Ὅμηρος (Β 857)· ‘τηλόθεν ἐξ Ἀλύβης, ὅθεν ἀργύρου ἐστὶ γενέθλη.‘ οὐ δ ’ ὃν Κυνθογενής : Κύνθος δὲ ὄρος Δήλου, ὅπου κεράτινος βωμός.

Bom Bes 9-13a λέγεται δὲ ἐκ δεξιῶν κεράτων πεπλέχθαι τὸν βωμὸν μόνον, ἐκ δὲ τῶν ἀριστερῶν οὐδαμῶς. ἰσόρροπος πέλοιτό μοι : οὐδὲ ἐκεῖνος ἴσος ἐμοὶ γένοιτο, ὃν τῷ Ἀπόλλωνι ἡ Ἄρτεμις ἐκ κεράτων ἐποίησεν.

Bom Bes 14 σὺν Οὐρανοῦ γὰρ ἐκγόνοις : ταῖς Χάρισιν. εἰνὰς δὲ Γηγενὴς αἱ Μοῦσαι· θυγατέρες γὰρ αὗται τῆς Γῆς.

Bom Bes 16/17 τάων δ ’ ἀείζῳον : τὰ τῶν Μουσῶν, φησί, καὶ τῶν Χαρίτων ἔνευσεν ὁ Ζεὺς ἄφθαρτα εἶναι. σὺ δ’ , ὦ πιὼν κρήνηθεν : σὺ δὲ ὁ ἐκ τῆς κρήνης τοῦ Ἑλικῶνος ἐκπιών, τουτέστι τῶν Μουσικῶν πομάτων, θύοις τοῖς θεοῖς σπονδὴν μέλιτος γλυκερωτέραν.

Bom Bes 23/24a ἰὸν ἱέντων τεράων : ἀντὶ 〈τοῦ〉 · οὐκ ἔχω δράκοντας ἰοβόλους. ἰὸν 〈ἱέντων〉 : ἀντὶ 〈τοῦ〉 ἰοβόλων.

Bom Bes 26a σοί , Τριπάτωρ : σοί, ὦ Ἀθηνᾶ· φασὶ δὲ Ἀθηνᾶν ἐκ τριῶν φῦναι πατέρων, ἔνθεν Τριτογένειαν καλεῖσθαι. τὸ δὲ πορφυρέου κριοῦ τοῦ χρυσομάλλου κριοῦ.

Bom Bes 26c φὼρ ἀνέθηκε κριοῦ : τὸ ἀπίθανον τοῦ μύθου λύοντες οὐ κριόν φασι τὸ ζῷον, πλοῖον δὲ κριὸν ἔμβολον ἔχον. ἀπὸ δὲ βωμοῦ ἀρξάμενος εἰς βωμὸν κατέληξεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org